18) *Ἁμάρτῃ· ⟨παρὰ τὸ⟩ ἁμάρτω, βαρύτονον· ἡ χρῆσις εἰς τὸ Νηλεές.* *Schol. Il. 9, 501

19) *Ἁμαρτῇ. σημαίνει τὸ ὁμοῦ καὶ κατὰ τὸ αὐτό.* ‖ ...... *ὅπῃ καὶ πῇ. δεῖ γινώσκειν ὅτι σὺν τῷ ῑ γράφεται. τὰ γὰρ εἰς ῆ λήγοντα ἐπιρρήματα ἔχουσιν τὸ ῑ προσγεγραμμένον, οἷον ἄλλῃ, πάντῃ, κρυφῇ, ἡσυχῇ, ἁμαρτῇ, κομιδῇ· σημαίνει δὲ τὸ πάνυ καὶ μετ' ἐπιμελείας· σπουδῇ· οἷον „σπουδῇ δ' ἕζετο λαός“* (Il. 2, 99)*· εἰκῇ, ὅπῃ, πῇ· οἷον „πῇ ἔβη Ἀνδρομάχη“* (Il. 6, 377)*· ᾗ, ἐξ οὗ τὸ ἧχι κατ' ἐπέκτασιν, οἷον „ἧχι ἑκάστῳ δώματα“* (Il. 11, 76)*. σημαίνει δὲ καὶ τὸ καθάπερ ὡς παρ' Εὐριπίδῃ* (Med. 768) *„οὗτος γὰρ ἀνὴρ ᾗ μάλιστα ἐκάμνομεν“, ἀντὶ τοῦ καθά. εἰσὶ δέ τινα εἰς ῆ λήγοντα ⟨ἐπιρρήματα⟩ μὴ ἔχοντα τὸ ῑ προσγεγραμμένον. εἰσὶν δὲ ταῦτα· ἤ· οἷον „ἢ θέμις ἐστίν“* (Il. 2, 73)*· σημαίνει δὲ τὸ ὡς θέμις· φή· οἷον „φὴ νέος οὐκ ἀπάλαμνος“* (Kallim. Fr. 518)*· σημαίνει δὲ τὸ ὡς νέος· μή· οἷον „μὴ τύψῃς“· νή· οἷον „νὴ τὴν Ἀθηνᾶν“· ἰή· ἐστὶ δὲ σχετλιαστικὸν ἐπίρρημα καὶ θαυμαστικόν· ὠή· ἐστὶ δὲ κλητικὸν ἐπίρρημα, ⟨οἷον⟩ „ὠή, τίς ἐν πύλαισι δωμάτων κυρεῖ;“* (Eurip. Phoen. 1067)

*Methodios Choiroboskos *περὶ ποσότητος*

---

15 so geordnet in einem Zusammenhang. Der alphabetischen Abfolge halber stellte er um und erweiterte 15 aus 16. — Vgl. Orion 23, 14. Benutzt ist Philoxenos; vgl. Orion 10, 12. 18) Gl. *Νηλεές* fehlt in *B*, lautet in *A*: *N. ἀπηνές, ἀπότομον. „οὐδέ τί σε χρὴ νηλεὲς ἦτορ ἔχειν στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί“*. (Il. 9, 496.) *„ἐναντίον δέ ἐστιν τὸ „στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί“ τῷ* (*τὸ A*) *„οὐ γὰρ αἶψα* (*αἶθα A* beidemal) *θεῶν τρέπεται νόος“*. (Od. 3, 147.) *λύοιτο δ' ἂν προσώπῳ, ὅτι τὸ μὲν „οὐ γὰρ αἶψα θεῶν τρέπεται νόος“ ὁ ποιητής φησιν, ἐκεῖνο δὲ ὁ Φοῖνιξ λέγει ἐν καιρῷ, ὀργιζομένου Ἀχιλλέως, εἰκότως καὶ θεοὺς πείθεσθαι.* Der Verf. hatte also hier die Scholien bis zu V. 501 abgeschrieben und mehr gelesen als im Ven. *A* und den Schol. Did. erhalten ist, offenbar aber aus derselben Scholien-Recension. 19) Teil I Meth. vgl. *Αἱμωδ.*-Et. 618, 39. Choirob. benutzt den Herodian, daher die Übereinstimmung mit Schol. Il. 5, 656. (Ven. *B*) 21, 162 (Ven. *A*), Od. 11, 160. Eustath. 592, 14 (aus Herodor und Apion). Vgl. Herodian I 489, 3 L. Schneider zu Kallim. Fr. 518; Apoll. Soph. 24, 29.

---

3. *Μεθ.* fehlt *B* 7. Die Gl. ist in *B* vor *Ἁμαρτῶ* gestellt, stand also wohl im Archet. am Rand. *ἡ χρῆσις* fehlt *B* 9. ohne Zeichen der Lücke *AB* 11. *πάντῃ*] *ἄντηι A, αὔτηι B* 13. Erstes *σπουδῇ* fehlt *B* *ἕξετο AB* *οἷον* fehlt *B* 15. *δόμω A* 16. *ῆ A* 18. *ἐστὶν* nach *προσγεγρ.* eingeschoben *A*; es gehört nach *θέμις* *ἢ οἷον* fehlt *B*; *ἧι* an erster, *ἡ* an zweiter Stelle *A* 19. *ἐστὶν* fehlt hier *AB* *φῆ AB* beidemal 21. *στύψης A* *ἰή*] *εἰή A, ἰῆ B* *δὲ* fehlt *B* 22. *ὠὴ* bis *κλητικὸν ἐπίρρημα* fehlt *B* 23. *πύλαις AB* *κύρη A*

σημαίνει δὲ τὸ κυρεῖ τὸ τυγχάνει· ἔστι δὲ καὶ τὸ ἰωή σχετλιαστικὸν ἐπίρρημα· ἔστι δὲ καὶ τὸ ἤδη χρονικὸν ἐπίρρημα, οἷον „ἤδη ἔγραψα“· ἔστι δὲ καὶ τὸ νῦν δή, σημαίνει δὲ τὸ ἀρτίως. τοῦτο δὲ τὸ νῦν δή οὐκ ἀνέχεται τὰς συντάξεις τοῦ νῦν. τὸ μὲν γὰρ νῦν τάσσεται ἐπὶ τριῶν χρόνων, οἷον νῦν γράφω, νῦν ἔγραψα, νῦν γράψω, τὸ δὲ νῦν δή παρῳχημένῳ μόνον χρόνῳ συντάσσεται, ὡς παρὰ τῷ Ποιητῇ, οἷον „νῦν δή τοι ξυμβλήμενος ἐγγὺς ὁδίτης“ (Od. 11, 127). *ἔστι δὲ καὶ τὸ δηλαδή καὶ τὸ βῆ, ὅπερ περισπᾶται τῶν ἄλλων τῶν μὴ ἐχόντων τὸ ῑ μὴ περισπωμένων· ἔστι δὲ μίμημα φωνῆς προβάτων, ἔστι δὲ παρὰ Κρατίνῳ* (Fr. 43 K) *ἡ λέξις. ἔστι δὲ καὶ τὸ ἀκαρή, σημαίνει δὲ τὸ ἐν ὀλίγῳ χρόνῳ. τὸ δὲ ἁμαρτή (σημαίνει δὲ τὸ ὁμοῦ καὶ τὸ ἀποτύχῃ) ὁ μὲν Ἀρίσταρχος χωρὶς τοῦ ῑ λέγει γράφεσθαι, λέγων ὅτι ἀπὸ τοῦ ἁμαρτήδην γέγονεν κατὰ ἀποκοπήν· ᾧτινι οὐ συνᾴδουσι τὰ τῆς παραδόσεως· ἡ γὰρ παράδοσις σὺν τῷ ῑ οἶδεν γεγραμμένον αὐτό. Ἡρωδιανὸς δέ φησιν σύνθετον εἶναι ἀπὸ τοῦ ἅμα καὶ τοῦ ἀρτῶ καὶ γίνεσθαι ἀπὸ ἀμφοτέρων ἐπίρρημα ἁμαρτῇ καὶ ὁμαρτῇ. λέγει δὲ ὁ Τεχνικὸς* (Apoll. de adv. 151, 23 Schn.) *τὸ ἡσυχῇ καὶ ἄλλῃ καὶ πάντῃ καὶ τὰ τοιαῦτα διὰ τοῦτο σὺν τῷ ῑ γράφεσθαι, ἐπειδὴ ἀπὸ δοτικῆς γεγόνασιν. ὅτι γὰρ ἀπὸ δοτικῆς γεγόνασιν, δηλοῖ τὸ ταύτῃ. ἔστι γὰρ αὕτη ⟨ἡ⟩ εὐθεῖα, ἡ γενικὴ ταύτης καὶ ἡ δοτικὴ ταύτῃ. εἰ ἄρα οὖν λέγομεν „ταύτῃ ἀπέλθωμεν“ καὶ οὐ λέγομεν „αὕτῃ ἀπέλθωμεν“, δῆλον ὅτι ἀπὸ δοτικῆς γέγονεν. εἰ δὲ τοῦτο ἀπὸ δοτικῆς γέγονεν, δῆλον ὅτι καὶ τὰ ἄλλα τὰ ἔχοντα τὸ ῑ ἀπὸ δοτικῆς γεγόνασιν. οὕτως ὁ Χοιροβοσκὸς εἰς τὴν Ποσότητα.*

Orion 20) *Ἀμαζών· ἡ μὴ μάζαις χρωμένη ἀλλὰ κρέασιν. ἢ ὅτι τὴν μίαν θηλὴν ἔκαιον τὴν δεξιάν, ἵνα μὴ ἐμποδίζωνται τοξεύουσαι. οὕτως Ὠρίων.*

Orion 21) *Ἁμαρτοεπής· ὁ ἁμαρτάνων ἐν τῷ λέγειν ἤγουν φλύαρος· ἡ μεταφορὰ ἀπὸ τῶν ἁμαρτανόντων τῆς ὁδοῦ. οὕτως Ὠρίων.*

---

20) Vgl. Or. Et. Gud. 611, 27. Ähnlich Method. *Αἱμωδ.*-Et. 618, 37 und Anecd. Ox. I 80, 8. Eustath. 402, 35. 21) Vgl. Schol. Il. 13, 824. Apoll. Soph. 25, 28. Hesych.

---

1. *τὸ κύρῃ A*, fehlt *B* 2. *χρονικὸν*] ⳩ *B* 3. 4. *δὲ τὸ*| *δὲ καὶ τὸ A* 5. *συντάττεται ἐπὶ γ΄ χρόνους A B* (*γ΄* ⳩ *B*) 6. *μόνον* fehlt *B* *συντάττεσθαι A* 7. *τῷ*] *τὸ B* *οἷον* fehlt *B* 8. *δὲ* fehlt *A* 10. *παρὰ τὸ A* 11. *ἀποτύχ A*, *ἀποτυχεῖν B*. Zuthat des Verfassers aus der vorigen Glosse. 12. *γράφεσθαι*] *αὐτὰ* fügt *B* ein 16. nach *ἀρτῶ* von erster Hand getilgt *καὶ γίνεται ἀπὸ τοῦ ἅμα καὶ τοῦ ἀρτῶ B* *γίνεται A B* *λέγεται A* 18. *σὺν τὸ ῑ γραφ A* 19. *δοτικῇ γέγονεν A* 20. *ταύτης*] *ταύτῃ A* 21. *οὖν λε/ μὲν* = *λέγεται μὲν A* 23. *ἄλλα*] *λοιπὰ B* 23. 24. *ἀπὸ δοτ. γεγ.* fehlt *B* 24. *εἰς τὴν ποσ.* fehlt *B* 26. *τοῦ τοξεῦσαι A* 27. *οὕτως Ὠρ.* fehlt *B*, ⳩ *A* 28. *ἁμαρτῶν A* *λόγῳ A* *ἤγουν* fehlt *B* 29. *οὕτως Ὠρ.* fehlt *B*, ⳩ *A*

22) *Ἀμαυρόν·* τὸ ἀλαμπὲς καὶ μὴ ὁρώμενον. παρὰ τὸ μαίρω τὸ λάμπω, ἐξ οὗ καὶ μαρμαίρω, ὁ μέλλων μαρῶ καὶ κατὰ πλεονασμὸν τοῦ ῡ μαυρῶ, ὡς καίω καύσω καὶ κλαίω κλαύσω, καὶ ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα μαυρός, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀμαυρός, ὁ ἀλαμπής. οὕτως Ὠρίων. Orion 10, 12

23) *Ἀμαθύνειν·* τὸ ἀφανίζειν [καὶ κόνιν ποιεῖν] τουτέστιν τὸ εἰς ἄμαθον διαλύειν καὶ κόνιν ποιεῖν. παρὰ τὴν ἄμαθον ἀμαθύνω. „πόλιν δέ τε πῦρ ἀμαθύνει“ (Il. 9, 593). *Orion

24) *Ἄμαντες·* οἱ περὶ Ἐλεφήνορα μετὰ Τροίας ἅλωσιν διέβησαν εἰς τὴν Ἤπειρον καὶ ᾤκησαν περὶ τὰ Κεραύνια ὄρη. ἔκτισαν δὲ καὶ Εὔβοιαν ⟨Ἄβαντος ἡγουμένου⟩, ὅθεν Ἄβαντες ἐκλήθησαν [ἐν ὑπομνήματι Λυκόφρονος] καὶ κατὰ μεταφορὰν Ἄμαντες. ὁ Σεξτίων δὲ ἐν ὑπομνήματι Λυκόφρονος (zu V. 1043) λέγει ὅτι Ἄβαντες ἐκλήθησαν ἀντὶ Ἀμάντων. οὕτως Ὦρος. ‖ „κεῖθεν δὲ Κεραύνια μέλλον Ἀμάντων οὔρεα Νεσταίους τε καὶ Ὤρικὸν εἰσαφικέσθαι“. Νέστις καὶ Ὤρικος πόλεις. Oros, περὶ ἐθνικῶν — Apoll. Rhod. 4, 1214

25) *Ἀμάρυνθος·* πόλις Εὐβοίας· ὠνομάσθη δὲ ἀπὸ Ἀμαρύνθου βασιλέως. ἢ ὥς τινες ἀπὸ τοῦ μὴ μαραίνεσθαι τὸν τόπον· σύνδενδρος γάρ. οὕτως Ὦρος. Oros, περὶ ἐθνικῶν

26) *Ἀμαστρίς·* Ἄμαστρις ἡ Ὀξυάθρου θυγατὴρ ἔκτισε πόλιν καὶ ἀφ' ἑαυτῆς ἐκάλεσεν. *Oros, περὶ ἐθνικῶν

27) *Ἀμαραντῶν.* Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά, οἷον „ἔνθα δὴ ἠπείροιο Κυταΐδος ἠδ' Ἀμαραντῶν“. Κύτος πόλις τῆς Κολχίδος. ἔστι δὲ καὶ ἑτέρα Κύτα τῆς Εὐρώπης κατ' ἀρχὰς τοῦ εἴσπλου τοῦ Πόν- Schol. Apol Rh. 2, 399

23) Vgl. Schol. Ven. *AB* und Did. zu Il. 9, 593. Eustath. 777, 21. Apoll. Soph. 27, 11. Hesych. 24) Oros benutzt im ersten Teil vielleicht ein Schol. des Sophokles zu Apollon. 4, 1214 (vgl. die lückenhaften, aber in dem Kallimachos-Citat mit Stephanos übereinstimmenden Schol. p. 518, 5). Sextion ist Grundlage unserer Lykophron-Scholien (vgl. diese und Paraphrase *P*, wie auch Glosse Ἤπιος und Scholion zu 1054). 25) Vgl. Steph. Byz. 26) Vgl. Steph. Byz. Schol. Apoll. 2, 941. 27) Vgl. Gl. *Κυταΐδος·* „ἔνθα δὲ (δὲ fehlt *A*) ἠπείροιο Κυταΐδος (κταΐδος *A*) ἠδ' Ἀμαραντῶν“. Κύτος πόλις τῆς Κολχίδος. ἔστι δὲ καὶ (καὶ fehlt *A*) ἑτέρα Κυταῒς τῆς Εὐρώπης. Ἀπολλώνιος. Ἀμαραντά· πόλις ἐν τῷ (τῷ fehlt *B*) Πόντῳ, ὡς δ' ἔνιοι ὄρη Κολχίδος. Ἀμαραντῶν δὲ ἐνταῦθα ἐπὶ τῶν ὀρέων περισπᾶται (ἐνταῦθα περισπᾶται τῶν ὀρνέων *B*) πρὸς ἀντιδιαστολὴν τῶν ἀμαράντων σωμάτων. — Vgl. Schol. Apoll. 413, 26 und 413, 31 bis 414, 7; dies ist der ältere Teil; der jüngere, dem Sophokles gehörig (vgl. Steph. Byz. *Κύτα*), umschreibt denselben 413, 27—31.

2. μαρμαίρω Or., μάρμαρον *AB* μαρῶ κατὰ πλ. *A* 3. καίω . . κλαύσω] so Or. καὶ fehlt *B*. ὡς κλαίω κλαύσω καὶ καίω καύσω *A* φβ *A* 8. ἀμα^θ *A* 10. περὶ] παρὰ *AB* 11. Ergänzt von Kaibel aus Strabo p. 445, Schol. Il. 2, 536 11. 12. ἐν ὑπ. Λυκ. fehlt *B* 12. μεταφορὰν] so *AB*. Vielleicht μεταβολήν nach Ἄμαντες endet *B* 14. ἄμαντες *A* ἀβάντων *A* φβ *A* 15. ἀμαντῶν οὐρέαν σεσταίουστε καὶ ὤρικον *A*. Ἀβάντων Apoll. codd. 17. ἀπὸ μαράνθου *AB* 18. 19. σύνδενδρος γάρ fehlt *B* 19. φβ *AB* 20. Ἀμαστρίς *AB*; das zweite Ἀμ. fehlt *B* ξάνθου *AB* 22. δὴ] δ' ἐπ' Apoll. 23. ἠπείρυο κοιτα εἶδος *A* 23 u. 24. Richtiger Κύταια 24. κύτα *B*, κατὰ *A*

του. ἐκεῖθεν δὲ τὴν ἀρχὴν λαμβάνει. λέγεται δὲ οὕτως ὀνοματικῶς. ὅθεν Κυταΐδα τὴν Μήδειαν ⟨προσαγορεύει⟩. Ἀμαραντά· πόλις ἐν τῷ Πόντῳ, ὡς δὲ ἔνιοι ὄρη τῆς Κολχίδος, ἐξ ὧν καταφέρεται ὁ Φᾶσις. ὅπερ ἀγνοήσας ὁ Ἐφέσιος Ἡγησίστρατος Ἀμαραντίους λιμένας ἀπέδωκεν τοῦ Φάσιδος διὰ τὸ εὐθαλεῖς εἶναι ⟨καὶ ἀμαράντους· ὁ δὲ Κτησίας Ἀμαραντὰ ὄρη⟩ τῆς Κολχίδος. ὁ δὲ Φᾶσις ποταμὸς φαίνεται ἀπὸ Ἀρμενίων ὀρῶν κατὰ Κόλχους εἰς θάλασσαν. τὸ δὲ Ἀμαραντῶν ἐνταῦθα ἐπὶ τῶν ὀρέων περισπᾶται ὡς κύριον καὶ τὰ Ἀμαραντά ὀξυτόνως λεκτέον· πρὸς ⟨γὰρ⟩ διαφορὰν σημαινομένου τοῦ ἀμάραντα σώματα δηλοῦντος οὕτως λέγονται.

Schol. Apoll. Rh. 2, 475 ff. 28) *Ἀμαδρυάδες· Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά, οἷον „ἀλλ' ὅ γε πατρὸς ἑοῖο κακὴν τίνεσκεν ἀμοιβὴν ἀμπλακίης· ὁ γάρ οἶος ἐν οὔρεσι δένδρεα τάμνων δήποτ' Ἀμαδρυάδος νύμφης ἀθέριξε λιτάων, ἥ μιν ὀδυρομένη ἀδινῷ [οἴκτρῳ] μειλίσσετο μύθῳ". — Ἀμαδρυάδες νύμφαι λέγονται διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι· ἢ ἐπειδὴ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι. Χάρων γὰρ ὁ Λαμψακηνὸς ἱστορεῖ ὡς Ῥοῖκος δρῦν θεασάμενος ἤδη μέλλουσαν ἐπὶ γῆν καταφέρεσθαι προσέταξε τοῖς παισὶ ταύτην ὑποστηρίξαι. ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυῒ νύμφη ἐπιστᾶσα τῷ Ῥοίκῳ χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας, ἐπέτρεπε δὲ αἰτήσασθαι ὅτι βούλοιτο. ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέσθαι αὐτῇ, ἐπιζήμιον μὲν ⟨οὐκ⟩ ἔλεγεν εἶναι τοῦτο· φυλάξασθαι δὲ ὅμως ἑτέρας γυναικὸς ὁμιλίαν. ἔσχον δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. καί ποτε πεσσεύοντος αὐτοῦ παρίπτατο ἡ μέλισσα· πικρότερον δέ τι ἀποφθεγξάμενος εἰς ὀργὴν ἔτρεψεν τὴν νύμφην ὥστε πηρωθῆναι. καὶ Πίνδαρος·* (Fr. 165 B[4]) *„ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσα".*

Hesiod, Theog. 511 29) *Ἁμαρτίνους· εἴρηται εἰς τὸ Ε στοιχεῖον εἰς τὸ Εἰλίπους.* (*A*) *Ἁμαρτίνους· παρὰ τὸ ἁμαρτῶ ἁμαρτίνους· σημαίνει δὲ τὸν ἡμαρτημένον κατὰ τὸ νοεῖν· ὡς οἰδῶ Οἰδίπους.* (*B*)

---

28) Vgl. Schol. Laur. p. 415, 28 K. 29) Vgl. *Εἰλίπους* Et. m. 299, 23 (*AB* viel reicher bietet daselbst *ἢ διὰ τοῦ ι οἷον ἁμαρτῶ ἁμαρτίνους, σημαίνει δὲ τὸν ἡμαρτημένον κατὰ τὸν νοῦν, οἰδῶ Οἰδίπους κτλ.*). Aus einem ortho-

---

1. *τῶν ἀρχων B, λαμβάνουσα AB* 1—7. *λέγεται* bis *εἰς θάλασσαν* fehlt *B* 4. *λιμένας*] so Schol. Apoll. cod. L. und p, schreibe *λειμῶνας* *Ἡγήστρατος* Schol. L. 5. 6. Ergänzt aus Schol. *Κολχίδος*] *Καλχιδόνος A* *φαίνεται*] *φέρεται* Schol. L. richtig, *φαίνεται* p 7. *εἰς Κόλχους κατὰ θάλασσαν A* 10. *τοῦ*] *τὰ B* *δῆλον AB* 11. 12. *οἷον* bis *οἶος ἐν* fehlt *B* *ἀλλ ὁ γε A* 12. *ἑοῖο κακὴν*] *ἑ εἰσκακεῖν A* 13. *ἀθέριζε A* 14. *ἥ* bis *μύθῳ* fehlt *B* 15. *δυσὶ A* 16. *ταῖς*] *τοῖς B* 18. *προσέταξε* bis *συμφθείρεσθαι* fehlt *B* 18. 19. *συμφέρεσθαι A* 19. 20. *εἰδέναι ἔφασκεν A* 21. *μὲν*] *μου A* 22. *φυλάξας AB* 23. *περιίπτατο AB, παρίστατο* Schol. L. 25. *ὥσγε πειρασθῆναι B* 26. *τεκμαραίων λαχοι* (wohl *λαχοῖσα*) *A, τεκμαίρων ὄνομα λαχοῦσαι B* — *λαχοῦσα* Schol. L.

*Orion 20, 20 Schol. Hesiod. W. u. T. V. 455

30) *Ἄμαξα· παρὰ τὸ ἄγω ἄξω ἄξα καὶ ἅμαξα.* ‖ *Ἡσίοδος ἐν Ἔργοις καὶ Ἡμέραις* (V. 455. 456.) „*φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἄμαξαν, νήπιος, οὐδὲ τὸ οἶδ', ἑκατὸν δέ τε δούρατ' ἀμάξης*“. *Σχόλιον· φησὶ δ' οὗτος οὐκ ἀληθῶς πλούσιος ἀλλὰ τῇ ψυχῇ δοκῶν πλουτεῖν, ὁ ἑαυτὸν ἐξαπατῶν. ἢ φρένας ἀφνειὸς κατὰ ἀντίφρασιν ἄφρων. Ἄλλως· πολλάκις γάρ τις ἐρεῖ τῶν τὴν ψυχὴν ἐπηρμένην ἐχόντων· „τί γάρ ἐστι δυσχερὲς τὸ ποιῆσαι ἄμαξαν ἢ ἄροτρον“. ὁ δὲ ἄφρων οὐκ οἶδεν, ὡς ἑκατὸν ξύλων (ἀντὶ τοῦ πολλῶν ξύλων) ἔσται συναγωγή. Ἄλλως· τοῦτο εἶπεν πρὸς τοὺς θαρροῦντας ἔχειν καὶ ⟨μὴ⟩ πρὸ καιροῦ εὐτρεπίζοντας. λέγει γάρ τις, εἶπεν, θαρρῶν, ὅτι ἔχει ὕλην, „ἐξέλθετε, ποιήσατέ μοι ἄμαξαν“ μὴ εἰδὼς ὅτι πολλὴν δυσχέρειαν ἔχει· καὶ γὰρ ἑκατόν εἰσι τὰ ξύλα τῆς ἀμάξης.*

*Schol. Il. 13, 95

31) *Ἀμάς· τὸ ἀμάς ἐκτείνεται κατὰ τὸ τέλος. ἐστὶ τοίνυν ἀμετέρας καὶ κατὰ συγκοπὴν ἀμάς· οἷον „ὔμμιν ἔγωγε μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἀμάς“.*

Schol. Il. 23, 422

32) *Ἁματροχιάς· ἁματροχιά δέ ἐστι τὸ ἅμα τρέχειν καὶ μὴ ἀπολείπεσθαι, οἷον ὁμοδρομία τις οὖσα. τροχοὺς γὰρ τοὺς δρόμους ἔλεγον. ὀξυτονεῖται δὲ ὡς φυταλιά καὶ δασύνεται ἡ ἄρχουσα. ἐν ὑπομνήματι Ἰλιάδος.* ‖ *ἁρματροχιά δέ ἐστιν ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ.*

---

graphischen Traktat. Der Schreiber von *B* ist also der Andeutung des Verfassers gefolgt und hat aus *Ἐλλίπους* hier die Erklärung eingesetzt. Anlafs, das Wort hier zu besprechen, war Hesiod. Theog. 511, wozu Schol. (Flach p. 260) *ἁμαρτίνουν τὸν σφαλέντα κατὰ τὴν γνῶσιν.* 30) Vgl. Etym. Gud. 612, 28. — Schol. Hes. p. 286. Gaisf. in andrer Reihenfolge. 31) Vgl. Schol. Ven. *A*. Der Satz *ἐστὶν* bis *ἀμάς* fehlt im Schol. Vgl. Apoll. Soph. 27, 18. Hesych. 32) Das Scholion war früher umfangreicher und ist in vollerer Fassung unter dem Lemma *Ἐπίσσωτρα* zu einem Schol. zu Il. 5, 725 *οἱ ἐκτὸς τῶν τροχῶν σιδήρειοι κύκλοι οἱ ἐπὶ τὴν γῆν κυλιόμενοι, ἐκ τοῦ σῶ τὸ ὁρμῶ σῶτρον καὶ ἐπίσσωτρον πλεονασμῷ τοῦ σ̄* (vgl. Ven. *A* und *B*) hinzugefügt: *ἰστέον δὲ ὅτι ἁματροχιά καὶ ἁρματροχιά διαφέρει. ἁματροχιὰ μέν ἐστιν τὸ ἅμα τρέχειν καὶ μὴ ἀπολείπεσθαι, οἷον ὁμοδρομία τις οὖσα. τροχοὺς γὰρ οἱ παλαιοὶ τοὺς δρόμους ἔλεγον. οἷον „τῇ ῥ' εἶχεν Μενέλαος ἁματροχιὰς ἀλεείνων“* (23, 422). *μετὰ δὲ τοῦ ρ̄, ἁρματροχιά, τὸ ἀπὸ τῶν τροχῶν ἴχνος δηλοῖ, οἷον „οὐδ' ἄρα πολλὴ γίνετ' ἐπισσώτρων ἁρματροχιή“* (23, 505). Der letzte Vers war der Grund, dies Stück in Glosse *Ἐπίσσωτρα* einzusetzen. Vgl. Schol. Ven. *B* zu 23, 422 (aus Porphyrios). Hierauf folgte also in dem vom Verf. des Et. benutzten Cod. *ὀξυτονεῖται ὡς φυτ. κτλ.*, d. h. ein dem Ven. *A* entsprechendes Scholion aus Herodian (vgl. *δασέως τὴν ἄρχουσαν· ὀξύνεται ὁμοίως τῷ φυταλιά*). Der zweite Teil der Glosse könnte ein Nikander-Schol. (zu Ther. 263) sein; vgl. Hesych *Ἁματροχιάς*, Ammonios 12, 3 Val., Apoll. Soph. 43, 15. Er kehrt unter *APM* wieder „*Ἁρματροχιά· ὁ τύπος καὶ ἡ*

---

1. *ἄξω* fehlt *A* 1. 2. *Ἡσίοδος* bis *Ἡμέραις* fehlt *B* *φησὶ δ'*| *φ'* *A* 3. nach *ἄμαξαν* endet *B* *οὐδετο οἰδ' ἑκατὸν δ' ἔτε A* 4. *οὗτοι A* 6. *ἐπαρμένην A* 7. *δυσχερὲς τὸ*] *δ. τοῦ A*, *εὐχερέστερον τοῦ* Schol. 8. *ὥσρα ξύλα A*, *ὡς ρ' ξύλων* Schol. 9. *συναγωγήν A*, *συνάγωγον* Schol. 10. ⟨*μὴ*⟩ Schol. *λέγει*] *ἔχει A* und Schol. *εἰπεῖν A* 13. *Ἀμάς*] Glosse fehlt *B* 14. 15. *πεποιθασα ὡσ εμεναι A* 16. *Ἁματροχιάς*] Glosse fehlt *B* 19. *ἁματροχία AB*

* Schol. Il. 2, 436 33) Ἀμβαλλώμεθα· ἀναβαλλώμεθα, ὑπερτιθέμεθα.

Herodian, περὶ παθῶν 34) Ἀμάνδαλον· τὸ ἀφανὲς παρ' Ἀλκαίῳ (Fr. 123 B[4]). ⟨ἐστὶν⟩ ἀμαλδύνω τὸ ἀφανίζω· „ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται Ἀχαιῶν" (Il. 7, 463). ἀμαλδύνω οὖν τὸ ἀφανίζω, ἀμάλδανον, τὸ ἀφανὲς καὶ ἀφανιζόμενον, καὶ καθ' ὑπέρθεσιν ἀμάνδαλον. οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

Orion 175, 29 35) Ἀμᾶν· τὸ θερίζειν· παρὰ τὸ ὁμοῦ ἐπισπᾶν, οἷον ἀμασπᾶν. οὕτως Ὠρίων.

Methodios 36) Ἀμβλυώττειν· τὸ μὴ ὀξυδερκεῖν Ἀττικῶς. παρὰ τὸ ἀμβλεῖς ἔχειν τοὺς ὄσσους, τῶν δύο σσ εἰς ττ μεταβληθέντων. Μεθόδιος.

* Methodios 37) Ἀμβλῶσαι· τὸ ἀτελὲς βρέφος ἀποβαλεῖν καὶ τὰ πρὸς τοῦτο φάρμακα ἀμβλωθρίδια καλοῦσιν οἱ ἰατροί. Ἀριστοφάνης (Wolk. 137), οἷον „καὶ φροντίδ' ἐξήμβλωκας ἐξηυρημένην." ἀπὸ μεταφορᾶς τῶν ἀμπέλων. ὁπότε γὰρ αὗται τοὺς λεγομένους ὀφθαλμοὺς ἀποκαυθεῖεν, λέγομεν αὐτὰς ἀμβλυώττειν ἀντὶ τοῦ οὐ τελεσφοροῦσιν καρπόν· καὶ ἐπὶ τῶν γυναικῶν τῶν ἀτελῆ τὰ βρέφη ἐκβαλουσῶν λέγομεν ἀμβλυώττειν καὶ κατὰ συγκοπὴν ἀμβλώττειν. ἢ ἐκ τοῦ ἀμαλῆσαι, ὅ ἐστι τὴν γονὴν ἀφανίσαι, ἀμβλῆσαι, καὶ τροπῇ τοῦ η εἰς ω ἀμβλῶσαι.

* Methodios 38) Ἄμβη.

* Methodios 39) Ἄμβων· κυρίως τὸ χεῖλος τῆς λοπάδος παρὰ τὸ ἐν ἀναβάσει εἶναι, οἷον „πολλῶν ἤδη λοπάδων τοὺς ἄμβωνας περιλείξας". (Eupol. Fr. 52 K.) λέγονται δὲ καὶ οἱ ὀρεινοὶ καὶ ὑψηλοὶ τόποι ⟨ἄμβωνες⟩, οἷον „ἐπ' οὔρεος ἀμβώνεσσι" (Kallim. Schn. Fr. an. 70). παρὰ τὸ βῶ βών, ὡς γηρύω Γηρυών, καὶ ἀνάβων καὶ κατὰ συγκοπὴν ἄμβων.

ἐγχάραξις τοῦ τροχοῦ „οὐδέ τι πολλὴ γίνετ' ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν" und ist wohl aus dieser Glosse hier nachträglich angefügt. 33) Vgl. Schol. Did. Hesych ἀμβαλλόμεθα. Vgl. Gl. 51. 37) Vgl. Cram. Anecd. Ox. I 81, 1. Vgl. Schol. Arist. Wolk. 137. 38) 39) Erster Teil aus Erotian 52, 10—53, 15 Kl. Vgl. Eustath. 1636, 50 aus Aelius Dionysius (vgl. Schwabe p. 57). Phrynichos Bek. An. Gr. 12, 4. Hesych. Auch in der Glosse Ἄμπωτις, auf welche Phrynichos verweist und welche der Stellung nach dem Method. gehört, ist Erotian benutzt.

---

1. Ἀμβαλώμεθα AB 3. ἀμελδύνω A 5. ἀμάνδυλον A, vgl. Hesych. ἀμανδαλοῖ 5. 6. οὕτως bis παθῶν fehlt B 7. ἐπὶ πὰν und ἀμαπᾶν A (vorher Ἀμάν) 8. οὕτως Ὠρ. fehlt B, φ A 9. ὀξυδερκὴν A 10. εἰς τ̄ A gegen den sonstigen Gebrauch Μεθ. fehlt B 12. φάρμακον, aber τὰ A ἰατροί] ἀττικοί Epim. Ἀριστ. bis ἐξημβλ. fehlt B 13. ἐξήμβλοκας A 14. αὐτοὺς τοὺς A (für αὐτ. τοὺς) ἀποκλαυθεῖεν A 15. καρπόν] so A. καρπόν fehlt in Epim. ἀντὶ τοῦ οὐ τελέσφορον καρπὸν ἔχειν B 16. ἐχουσῶν ἐκβαλουσῶν B 17. καὶ bis ἀμβλώττειν fehlt A 18. καὶ κατὰ τροπὴν B ἀμβλῶσαι fehlt A 19. nach Ἄμβη in A Zeile freigelassen. Dann als neues Lemma Ἄμβων. B läſst Ἄμβη aus und beginnt mit Lemma Ἄμβων. Methodios hat aus der langen Glosse seiner Quelle zwei gemacht. 20. ἀλβάσει A 21. περ εἰ λήξας A (περιλήξας Erot. codd.) περιειλίξας B 23. οὔρεως A 24. καὶ συγκοπῇ ἄβων B

40) *Ἀμ βωμοῖσι· „ἅρματα δ' ἀμ βωμοῖσι“· ἀντὶ τοῦ περὶ τοὺς* *Schol. Il. 8, 411
βωμούς. Χρύσιππος ὑφ' ἓν προφέρεται, ὁ μέντοι Ἀρίσταρχος δύο
μέρη λόγου παραλαμβάνει καὶ προπερισπᾷ. λέγει γοῦν καὶ ἀλλαχοῦ
„χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν“ (Od. 7, 100). *χρὴ γι-*
νώσκειν ὅτι διὰ τοῦ μ̅ γράφεται, κἂν παράθεσις ᾖ, ὁμοίως τῷ „ἀμ
φόνον, ἀν νέκυας“ (Il. 10, 298).

41) *Ἀμβλύς· ὁ σίδηρος ὁ μὴ ὀξύς. παρὰ τὸ μῶλος, ὅ ἐστιν ὁ* Orion 14, 9
ἐγχρονισμὸς τῆς μάχης, γέγονε μωλύς, ὡς ἵππος ἱππύς, καὶ κατὰ
στέρησιν ἀμωλύς, ὁ μὴ ἐπὶ μῶλον καὶ πόλεμον ἐπιτήδειος. συγκοπῇ
καὶ πλεονασμῷ τοῦ β̅ ἀμβλύς, ⟨ὡς⟩ βαρύς. οὕτως Ὠρίων.

42) *Ἀμβρόσιος ὕπνος· θεῖος, θαυμαστός, οὗ οὐχ οἷόν τε βρο-* *Orion
τοῖς ἅψασθαι. ἢ ὁ ὑγρός· ὑγρὸς γάρ ἐστιν ὁ ὕπνος, οἷον „νήδυμος
ἀμφιχυθείς“ (Il. 14, 243). *καὶ ἀμβρόσιος οὖν διὰ τοῦτο λέγεται ὁ ὑγρός.*
οὕτως Ὠρίων. ‖ *ὁ δὲ Θεόγνωστος ⟨οὐ⟩ γράφει τὸ σ̅ε̅ι̅ διφθόγγῳ.* Theognostos 56, 25
τὰ γὰρ διὰ τοῦ σ̅ι̅ο̅σ̅ ἅπαντα πλὴν τῶν μετουσιαστικῶν .... διὰ τοῦ ι̅
γράφονται, οἷον διπλάσιος, ἀσπάσιος, Ταράσιος, ἀμβρόσιος, ἱκέσιος,
Ἐφέσιος, ἀνάρσιος, Συρακόσσιος (οὕτω γὰρ Ἡρῳδιανὸς ἐν τῇ
Καθόλου διὰ δύο σ̅σ̅ γράφει τὸ ὄνομα) διαπρύσιος. ὁμοίως καὶ τὰ
ἐπ' ἀριθμῶν τασσόμενα διὰ τοῦ σ̅ι̅ο̅σ̅ διὰ τοῦ ι̅ γράφονται, οἷον
διακόσιοι, τριακόσιοι. εἶπον μὴ σημαίνοντα μέρος σώματος ἢ μετου-
σίαν διὰ τὸ .... ειος κάρα, χρύσειος σταυρός διὰ τῆς ε̅ι̅
διφθόγγου γραφόμενα.

43) *Ἀμβροσίην διὰ νύκτα· διὰ τῆς θείας νυκτός.* *Schol. Il. 2, 57

44) *Ἀμβροσία· θεία τροφή, ἧς βροτοὶ οὐ μετέχουσιν. ἢ ἧς οὐχ* *Orion 19, 11

---

40) Vgl. Schol. Ven. *A*. 41) Vgl. Demetrios *περὶ ποιημάτων*, Vol. Herc. nov. coll. V p. 15 Fr. 26: [*κ*]*είμενον ἀντὶ τοῦ μῶλυ, ὃ παρῆκται ἀπὸ τῶν μωλυομένων. ταῦτα δ' ἐστὶ τὰ βραδέως* [*εἰ*]*ς πόλ*[*εμον*] ... 42) Erster Teil Or. aus älteren Epim. zu Il. 2, 19. Vgl. Cram. Anecd. Ox. I 1, 16. Eustath. 166, 43. 43) Vgl. Schol. Ven. *B* und Schol. Did. zu Il. 2, 57. 44) Vgl. Etym. Gud. 612, 18. Eustath. 160, 23.

---

1. 2. *περὶ τοῖς βωμοῖς B* 2. *προφέρεται*] so *AB* und Schol. Schr. *προφέρει* 3. *περιλαμβάνει A* *προπερισπᾶται A*, *προπ*[ε] *B* 4. *χρύσιοι A* *ἐν ὕδμήτων A* 5. *γράφονται A*, *γρ*[α] *B* 5. 6. *τὸ ἄμφωνον ἀνέκυας A* 7. 8. *ὅ ἐστιν ἔγχρον. B* 9. *καὶ τὸν πόλ. B* 10. nach *ἀμβλύς* endet *B* *ὡρίων A* 11. *Ἀμβρόσειος* scheint der Verf. geschrieben und im Orion gefunden zu haben *οὗ*] *ὃν AB* 11. 12. *βροτοὶ AB* (verb. von *B*, erste Hand) 14. *ὧρος AB*; aber vgl. Orion 19, 11. 30, 26 *γράφει AB* *διφθ. B*, *δίφθογγον A* 15. Ohne Lücke *AB*, vgl. 20. 21 16. *γράφονται*] *A* immer Plural ausgeschrieben, *γρ*[α] *B* 16. *ἀσπάσιος*] *ἱππάσιος B* 17. *συρακούσιος A* 18. *γράφει*] *γρ*[α] *B*, *γράφονται A* *δὲ* nach *ὁμοίως* eingeschoben *A* *τὰ*] *τὸ B* und später *τασσόμενον*. *τὰ* fehlt *A* 19. *ἀριθμὸν A* 20. 21. *μετουσίαν διὰ δηλοῦντα A* vielleicht richtig 21. *νήσειος κάρα χρύσειος στρατός* Theogn., *ὕειος κάρα καὶ χρύσειος ταῦρος A*, *χρύσειος σταυρὸς ἀχ.ρ..... κάρα B*. Vgl. Theogn. 56, 2: *περδίκειος κάρα*; 56, 15: *βόειος κάρα*. Theogn. schrieb wohl *νήσσειος*, wofür der Verf. des Etym. ein anderes, nicht auf *σειος* ausgehendes Wort einsetzte 24. nach *μετέχουσιν* sofort *καὶ ἀμβρόσιαι χαῖται* (Gl. 45) *B*

οἷόν τε βροτὸν ἅψασθαι. ἔστιν οὖν βρόσις βροσία καὶ κατὰ στέρησιν καὶ πλεονασμῷ τοῦ μ̄ ἀμβροσία.

*Schol. Il. 5,338 45) *Ἀμβροσίου· θείου, οὗ βροτοὶ οὐ μετέχουσιν· καὶ „ἀμβρόσιαι χαῖται“* (Il. 1, 529).

46) *Ἄμβροτον· ἀθάνατον, οὗ βροτοὶ οὐχ ἅπτονται.*

Orion 47) *Ἄμβροτοι· διότι ἀθάνατοι οἱ θεοί. ⟨διὰ⟩ τὸ ἄμοιροι εἶναι βροτοῦ ὅ ἐστιν αἵματος. Ὠρίων.*

*Oros, περὶ ἐθνικῶν 48) *Ἀμβρακία· ⟨Ἄμβρακος⟩ πόλις Ἠπείρου .... ἀφ' ἧς ἐκλήθη ἡ χώρα Ἀμβρακία.* ‖ *„ἤδη μὲν ποτὶ κόλπον ἐπώνυμον Ἀμβρακιήων“.* Apollonios 4, 1228 *Ἀπολλώνιος.*

49) *Ἀμβολιεργός· ⟨ὁ τὸ ἔργον⟩ ἀναβαλλόμενος. Ἡσίοδος·* (W. u. T. 413) *„αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει“.*

50) *Ἀμβολάδην· ἀναβάλλων.*

*Schol. oder Epim. Hom. Il. 2, 436 51) *Ἀμβαλλώμεθα· πᾶσα πρόθεσις συγκοπὴν πάσχουσα τοῦ ἐσχάτου φωνήεντος τὸ καταλειπόμενον σύμφωνον* ....

*Schol. Il. 6,434 52) *Ἄμβατος· ἀνάβασιν ἔχουσα. — ἡ ὁδὸς ἡ πρὸς τῷ τείχει αὐτῷ οὖσα.*

Methodios 53) *Ἀμέγαρτος· ποτὲ μὲν δηλοῖ τὸ εὐτελὲς καὶ μὴ ἄξιον φθόνου, οἷον „ἀμέγαρτε συβῶτα“* (Od. 17, 219). *δηλοῖ δὲ καὶ τὸ πολύ, ὡς τὸ „πόνον δ' ἀμέγαρτον ὄφελλεν“* (Il. 2, 420). *ἐπὶ μὲν τοῦ εὐτελοῦς κατὰ στέρησιν τοῦ ᾱ παρὰ τὸ μεγαίρω τὸ φθονῶ μεγαρῶ καὶ μεγαρτὸς καὶ ἀμέγαρτος, ὁ μὴ φθόνου ἄξιος. φθόνος γὰρ τοῖς εὐτελέσιν οὐ προσγίνεται. ἐπὶ δὲ τοῦ πολὺ κατ' ἐπίτασιν τοῦ ᾱ, ἵν' ᾖ ἀμέγαρτον τὸ πολλοῦ φθόνου ἄξιον. τὰ γὰρ μεγάλα φθονεῖται, τὰ δ' εὐτελῆ οὔ· „πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει“. Σοφοκλῆς Αἴαντι* (157). *Μεθόδιος.*

*Methodios 54) *Ἀμέλγω· παρὰ τὸ ἅμα ἕλκω.*

---

45) Vgl. Schol. Did. Hesych. 46) Vielleicht Schol. Il. 5, 339. 47) Orion aus älteren Epim. Vgl. Apoll. Soph. 24, 31. 48) Vgl. Steph. v. Byz. 49) Schol. zu Hesiod. oder Teil I aus Photios Rhet. Vgl. Suid. 50) Schol. zu Il. 21, 364 (Ven. *A* interlin.) oder Photios. Vgl. Suidas. 52) Vgl. Schol. Did. Apoll. Soph. 27, 6. Eustath. 653, 57. 53) Meth. = Orion 22, 12. Vgl. Apollon. Soph. 25, 20. Hesych. Eustath. 250, 5. 1692, 2. 1817, 28. Vgl. Schol. Od. 17, 219. 54) Meth. wegen der Reihenfolge.

---

5. *οὗ*] *ὃν A* 6. *διότι*] *Διογενιανὸς* Schmidt zu Hesych *ἀμβρότιγνον*. Diog. ist (aufser in Nikander-Scholien) weder im Genuin. noch bei Orion citiert; *διὰ τί?* vgl. Il. 5, 339—342. *οἱ θεοὶ διότι ἀθάνατοι, τῷ* Kaibel *ἄμοιροι*] *ἄμοιρον A*, *βροτοῦ* fehlt *B* 7. *Ὠρίων*] *ὠρ A*, *ὦρος B* 8. Ohne Lücke *AB* 9. *ἀμβρικία A* *ἀμβρακηΐων B* 10. *ἀπ B*, fehlt *A* 14. *Ἀμβαλόμεθα AB*, Hesych. *Ἀμβαλλόμεθα* 15. *σύμφωνον* fehlt A. Zeichen des Glossenschlusses in *AB*, aber in *A* halbe Zeile frei 16. *ἡ* vor *ὁδὸς* fehlt *A*. Die Erklärung gehört zu *καὶ ἐπίδρομον ἔπλετο τεῖχος* 18. *Ἀμέγαρτος*] so *AB* 20. *πόνον*] *φόνον A* 20. *ὤφελλεν B* 20. 21. *εὐτελοῦς*] *ἀτελοῦς B* 22. *μέγαρον καὶ μέγαρτος AB* 25. *ἔχοντα AB* 25. 26. *Σοφ.* bis *Μεθόδιος* fehlt *B* 27. *ἕλκω*] *ἕλκειν A*

55) *Ἀμενηνός·* ὁ ἀσθενής· καὶ ἀμενήνωσεν ἀσθενῆ ἐποίησεν· παρὰ τὸ μένος ἄμενος καὶ πλεονασμῷ τῆς νη συλλαβῆς ἀμενηνός· ἢ παρὰ τὸ μένω μενηνός, ὡς πέτω πετηνός, καὶ ἀμενηνός. ἐξ οὗ καὶ ῥῆμα· „ἀμενήνωσεν δέ οἱ αἰχμήν“ (Il. 13, 562). *Methodios

56) *Ἀμέρδω·* κυρίως τὸ μέρους στερῶ, καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ στερῶ μόνον, οἷον „ὁππότε δὴ τὸν ὅμοιον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι“ (Il. 16, 53). ὥσπερ παρὰ τὸ σκαίρω σκαρῶ γίνεται σκαρίζω καὶ εἴρω ἐρῶ ἐρίζω, οὕτως καὶ παρὰ τὸ μείρω μερῶ γίνεται μερίζω καὶ κατὰ συγκοπὴν καὶ τροπῇ τοῦ ζ εἰς δ μέρδω καὶ μετὰ τοῦ στερητικοῦ α ἀμέρδω, ⟨καὶ παρὰ τῷ Ποιητῇ⟩ ἀμέρσαι. ἢ παρὰ τὸ μείρω τὸ μερίζω ὁ μέλλων μερῶ καὶ Αἰολικῶς μέρσω, ὡς φθείρω φθερῶ φθέρσω καὶ κείρω κερῶ κέρσω, καὶ ἀμέρσαι ἐξ αὐτοῦ. *Methodios

57) *Ἀμένης·* σημαίνει τὸν παῖδα, παρὰ τὸ μὴ ἔχειν μένος, καὶ κλίνεται ἀμένης ἀμένητος, ὥσπερ Ἀμέλης Ἀμέλητος. εἰσί τινα εἰς ησ ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ η ἀμετάβολον καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν μὴ τὸ η̄, μὴ τὸ ο̄, μὴ τὸ ῑ, μὴ τὸ ῡ, μὴ τὸ ω̄, ἅτινα διὰ τοῦ τοσ κλίνονται, ⟨οἷον⟩ Ἐπιάλης Ἐπιάλητος, Ἀκέλης Ἀκέλητος (ἔστι δὲ ὄνομα ποταμοῦ), Ἀμέλης Ἀμέλητος (ἔστι ⟨δὲ⟩ καὶ αὐτὸ ὄνομα ποταμοῦ), ἀμένης ἀμένητος. πρόσκειται „μὴ τὸ η̄, μὴ τὸ ο, μὴ τὸ ῑ, μὴ τὸ ῡ, μὴ τὸ ω̄“, ἐπειδὴ ταῦτα εἰς ου ἔχουσιν τὴν γενικήν, οἷον Αἰσχίνης Αἰσχίνου, Μηριόνης Μηριόνου, Κερύνης Κερύνου, τελώνης, τελώνου. οὕτως ὁ Χοιροβοσκὸς εἰς τὸν ε΄ κανόνα τῶν ἀρσενικῶν. Choiroboskos zu Theod. 165, 35 H

58) *Ἀμεύσιμος·* ⟨παρὰ τὸ⟩ ἀμεύω τὸ πορεύομαι· οἷον „ὅπῃ καὶ ἀμεύσιμον ἦεν“. τουτέστιν πορεύσιμον. ⟨τὸ δὲ⟩ ἀμεύω παρὰ τὸ ἅμα καὶ τὸ σεύω. ἢ παρὰ τὸ νεύω νεύσιμος καὶ ἀνεύσιμος τοῦ α τὸ ὁμοῦ δηλοῦντος ἢ πλεονάζοντος ⟨καὶ⟩ τροπῇ τοῦ ν εἰς μ ἀμεύσιμος. Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά. Schol. Apoll. 4, 297

55) Meth. Teil I aus den Pseudo-herodianischen Epimerismen, vgl. Orion 28, 26; Teil II gleich Schol. Oppian. Hal. 1, 540. Vgl. Apoll. Soph. 27, 3. Suidas. Hesych. Eustath. 641, 55. 946, 45. 56) Vgl. Cram. Anecd. Ox. I 81, 12 bis 23; vgl. Orion 20, 8. 13, 16. 58) Schol. Apoll., wie der Schlufs beweist; Scholien werden oft so citiert; vgl. Gl. 63.

1. ὁ fehlt *A* 2. ἀμενηνός] μενηνός *A* 3. ὡς] καὶ *A* 4. ῥῆμα] τὸ *B* ἀμενήνωσε *A* 6. στερῶ μόνον Epim., στεροῦμαι *AB* ὁπότε *AB* 10. ⟨καὶ παρὰ τῷ Ποιητῇ⟩] ergänzt aus Epim. Mit Ἀμέρσαι beginnt neue Glosse *AB* 12. φθέρσω] καὶ φθέρσω *A* ἀμέρσε *A*, ἀμέρσω *B* 16. φωνῆεν fehlt *B* 17. κλίνονται] κλι^ν *B* ⟨οἷον⟩] ergänzt aus Choir. 18. Ἀμέλης bis ποταμοῦ fehlt *A* 20. μὴ τὸ ω̄, μὴ τὸ ῡ *B* 21. 22. Κερύνης Kaibel (Pausan. 2, 28, 2)] Κεβριόνης Choer. cod. Ven. Κερύνης cod. Paris., κερβύνης κερβύνου *B*, κερύννης κερύννου *A*. Der Etymol. will Wörter auf ίνης, όνης, ύνης, ώνης anführen οὕτως bis ἀρσενικῶν fehlt *B* 25. ἀμεύσημον *A*, μόρσιμον codd. Apoll. Laur. u. Guelf. ἦεν] ἢ *A*, ἢι *B* ἀμεύω] mit Ἀμεύω beginnen *AB* eine neue Glosse 26. ἅμα] ἅμω^α *A* 27. τὸ ὁμοῦ — πλεονάζοντος] τοῦ ὁμοῦ ἢ πλ^ε/ δηλοῦντος *A*, τὸ ὁμοῦ ἢ τὸ πλέον δηλοῦντος *B* 28. Ἀπ. ὁ τ. Ἀργ. fehlt *B*

59) *Ἀμείλιχος· ἀμείλικτος, ἀσυμπαθής, ἀπηνής· ἀπὸ τοῦ μειλίσσω.*

Choiroboskos, Orthogr. Methodios

60) *Ἀμεινίας· ὄνομα κύριον. παρὰ τὸ ἀμείνων ἀμείνονος Ἀμεινονίας καὶ Ἀμεινίας. ‖ ἢ παρὰ τὸ μένος μενίας καὶ Ἀμεινίας κατὰ στέρησιν, οἱονεὶ ὁ ἀπρόθυμος καὶ ἀόργητος. Μεθόδιος καὶ Χοιροβοσκός.*

* Choiroboskos, Orthogr. 176, 6

61) *Ἀμείνων· παρὰ τὸ μείων, οἷον „μείων μὲν κεφαλῇ Ἀγαμέμνονος"* (Il. 3, 193), *γέγονεν ἀμείων καὶ πλεονασμῷ τοῦ ν̄ ἀμείνων, οἱονεὶ ὁ μὴ ἐλάσσων τινός. ἢ παρὰ τὸ μένω γέγονεν ἀμένων καὶ πλεονασμῷ τοῦ ῑ ἀμείνων, τουτέστιν ὁ μὴ μένων ἀλλ' ὑπὸ πάντων αἱρόμενος. τὸν γὰρ κρείττονα πάντες αἱροῦσιν.*

62) *Ἀμείνω· καὶ χωρὶς τοῦ ν̄ καὶ ⟨τοῦ⟩ ῑ. „κλέπτῃ δέ τε νυκτὸς ἀμείνω"* (Il. 3, 11). *ἐστὶ δὲ αἰτιατική χωρὶς τοῦ ν̄· ἐστὶ γὰρ ἀμείνονα καὶ ἀμείνοα καὶ κατὰ κρᾶσιν ἀμείνω. τὸ δὲ Ἀμεινῷ μετὰ τοῦ ῑ ἐστὶ δοτικὴ ἀπὸ τῆς ⟨εὐθείας⟩ ἡ Ἀμεινώ τῆς Ἀμεινῶς τῇ Ἀμεινῷ.*

Schol. Apoll. 2, 908

63) *Ἀμείδητος· ἀμειδήτους. „ᾧ ἐν ἀμειδήτους ἁγίας ηὐλίζετο νύκτας". τὰς φρικτάς, ἐν αἷς οὐκ ἔστι μειδιᾶσαι οὐδὲ γελάσαι. ἢ ὅτι φοβεραί εἰσιν καὶ σκοτειναί. ἁγίας δὲ τὰς ἁγνάς, διὰ τὸ ἐν αὐταῖς ἄγεσθαι τὰ μυστήρια. Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά.*

* Schol. Apoll. 2, 221

64) *Ἀμήρυτον· εἴρηται εἰς τὸ Ἀμύρητον.*

* Schol. Il. 15, 14

65) *Ἀμήχανος· „ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε"* (Il. 15, 14). *ἰστέον ὅτι δύο σημαίνει ἡ λέξις, ἢ τὸν μὴ δυνάμενον μηχανὴν εὑρεῖν, ἢ πρὸς ὃν οὐκ ἔστιν μηχανήσασθαι, ὅπερ καὶ ἐνταῦθα λέγει.*

* Schol. Il. 8, 130

66) *Ἀμήχανα· πρὸς ἃ οὐκ ἔστι μηχανὴν εὑρεῖν· ἐξ οὗ δεινὰ καὶ χαλεπά.*

Orion

67) *Ἄμη· τὸ γεωργικὸν ἢ οἰκοδομικὸν ἐργαλεῖον. παρὰ τὸ ἅμα γέγονεν ἄμη, τὸ ἅμα καὶ ὑφ' ἓν ἕλκον πολλά. δύναται δὲ καὶ παρὰ τὸ ἀμᾶν, ὅ ἐστι κόπτειν καὶ θερίζειν. οὕτως Ὠρίων.*

---

59) Vielleicht Schol. zu Il. 9, 158; oder aus Choirob. Orth. Vgl. 183, 11. 60) Teil II (Meth., vgl. Anecd. Ox. I 81, 10) ist eingeschoben. 61) Vgl. Orion 18, 12. 62) Vielleicht Choirob. Vgl. Cram. Anecd. Ox. I 11, 8. Schol. Ven. *A* 63) Vgl. Schol. Laur. p. 434, 20 K. 64) Vgl. Schol. Laur. p. 401, 10 K. 65) Vgl. Ven. *A* 66) Vgl. Schol. Did. 67) Vgl. Orion 9, 11; ähnlich Method. Cram. Anecd. Ox. I 82, 12.

---

1. *μελίσσω A* 4. *Μεθ. καὶ Χοιρ.* fehlt *B* 6. *μεῖον μὲν A* 6. 7. *Ἀγαμέμνονος*] *ἀγάμενος A*, *ἀγαμ^ε B* 8. 9. *οἱονεὶ* bis *τοῦ ῑ ἀμείνων* fehlt *B* 11. *κλέπτει B* 12. *δὲ* fehlt *A* 13. *καὶ ἀμείνοα* fehlt *B* *κρᾶσιν*] *κρα^τ A* 14. *Ἀμεινώ*] *ἀμείνω A*, *ἀμείνως B* *τῆς ἀμείνω AB* *τῇ ἀμείνωι A*, fehlt *B* 15. *Ἀμείδητος*] Lemma am Rand *B* 19. *Ἀμύρητον*] *ἀμήρυτον A*, *ἀμηρυ^τ B*, vgl. Gl. 111. *Ἀμύρητον* ist dort im Methodios-Text aus *Ἀμήρυτον* verdorben; denn Meth. schreibt das Apolloniosscholion ab 22. *ὅπερ*] *ὡς B* *καὶ* fehlt *B* *λέγει*] *λ^ε/ A*, fehlt *B* 27. *γέγονεν*] *γεγονέναι A* 28. *Ὠρίων*] *ὠ^β A*, *οὕτως Ὠρ.* fehlt *B*

68) *Ἀμητῆρες· θερισταί, παρὰ τὸ ἀμᾶν. ἡ χρῆσις εἰς τὸ Ὄγμον.* *Schol. Il. 11, 67

69) *Ἀμήτειρα· ἡ χρῆσις εἰς τὸ Ζήτης.* *Il. 14, 259

70) ⟨*Ἀμῆσαι· ἐστὶν*⟩ *ἀμᾶν, τὸ θερίζειν, παρὰ τὸ ἅμα ἀμῶ, τὸ ἅμα καὶ ὑφ' ἓν πολλὰ ἕλκω, οἷον „ἀτὰρ καθύπερθεν ἔρεψαν λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες"* (Il. 24, 451).

71) *Ἄμηρον· οἷον „τὸ Ἄμηρον . . . ." οὐδετέρως. ἐστὶν ὄνομα ὄρους.*

72) *Ἄμης· ποιός τις πλακοῦς. Ἀριστοφάνης „ἄμητα προσαπέπεμψεν ἡμῖν τουτονί"* (Plutos 999). *ἀπὸ τοῦ ἐξαμᾶσθαι αὐτὸν σπουδαίως ὑφ' ἡδονῆς ὡς μέλιτι καταρδόμενον. ἢ παρὰ τὸ πολλῶν ἅμα εἰς αὐτὸν ἀναγομένων καὶ ἐμβαλλομένων* [*εἰς*] *τὴν κατασκευὴν αὐτοῦ* ⟨*γίνεσθαι*⟩. *Μεθόδιος.* Methodios

73) *Ἀμιθρῆσαι· Σιμωνίδης τὸν ἀριθμὸν ἄμιθρον εἶπεν καθ' ὑπερβιβασμόν, οἷον „κυμάτων ἄμιθρον"* (Fr. 228 B⁴). *ἐκ δὲ τοῦ ἄμιθρος ἀμιθρῶ καὶ ἀμιθρῆσαι τὸ ἀριθμῆσαι. ἢ ἀπὸ τοῦ ἀριθμῆσαι κατὰ μετάθεσιν τῶν στοιχείων, ὡς πίτυλος τύπιλος. οὕτως Ἡρωδιανὸς περὶ παθῶν καὶ Μεθόδιος.* Methodios; Herodian, περὶ παθῶν

74) *Ἀμίς· τὸ οὐροδόχον ἀγγεῖον. Ἀριστοφάνης· „εἶτ' ᾔτησεν ἀμίδα"* (Frösche 543). *παρὰ τὸ ὀμιχῶ τὸ οὐρῶ, Ἡσίοδος „μηδ'* Methodios

---

68) Glosse *Ὄγμος* besteht aus drei Teilen, deren erster (= Et. magn. 613, 34—38) vielleicht aus den Nikanderscholien (Ther. 571), deren zweiter (= 613, 38—42) aus Orion 114, 28 stammt; der dritte lautet: *Ὅμηρος ἐπὶ τῆς εὐθείας τάξεως τοῦ θερισμοῦ φησιν, οἷον „ὄγμον ἐλαύνωσιν ἀνδρὸς μάκαρος"* (Il. 11, 68). Das Citat umfaſste früher mindestens V. 67 und 68. *ἀμητῆρες θερισταί* Schol. Did. und Ven. *A* interlin. (Suidas). 69) Vgl. *Ζήτης· ὁ υἱὸς Βορρᾶ· οἷον „Ζήτης αὖ Κάλαΐς τε Βορῆος υἷες ἱκέσθην". Ἀπολλώνιος ὁ Ῥόδιος ἐν τοῖς Ἀργοναυτικοῖς* (1, 211; bis hierher aus eigener Lektüre). *ζαήτης, παρὰ τὸ ζα καὶ τὸ ἄης* (so) *ὁ μεγάλως πνέων· υἱὸς γάρ ἐστι τοῦ Βορρᾶ.* — *Ἀμήτειρα* ist aus *δμήτειρα* verlesen; in Glosse *Ζήτης* war Il. 14, 253—259 (254 *ἀήτας*, 259 *δμήτειρα*) citiert. Ein Wort *Ἀμήτειρα* ist also unbezeugt. 70) Vielleicht Schol. zu Il. 24, 451. 71) Vielleicht Oros bei der Besprechung der Stadt *Ἄμυρος*, vgl. Gl. 117. 73) Vgl. Eustath. 1801, 26. Herodian II 387, 1. 2 Lentz; Simonides ist vielleicht der Iambograph. Vgl. Suidas *Ἀμιθρῆσαι*. Hesych. Da Method. viel Bemerkungen zu Kallimachos hat, ist das Lemma wohl aus diesem (Fr. 339). Dem Herodian gehört die Glosse *Πίτυλος* (= Et. M. 673, 46). 74) Method. wie oft aus älteren Aristophaneskommentaren. Vgl. Bekk. An. Gr. 387, 27. Schol. Thesm. 633.

---

1. *ἡ χρῆσις*] *εἴρηται B* 2. *Ἀμήτηρα A* *ζήτημα A* 3. *Ἀμᾶν* ist in *AB* als Lemma geschrieben, zerstört aber die alphabet. Ordnung. Vgl. Etymol. Gudian., Glosse 230 3. 4. *ἀμῶ τὸ ἅμα* fehlt *A* 4. *ἕλκων A*, *ἕλκον B* *ἀτὰρ* bis *ἔρεψαν* fehlt *B* 6. *Ἄμηρον*] so *AB* und die Codd. des Stephanos Byz. u. d. W. *Δέξαροι* *οἷον τὸ ἄμηρον* fehlt *B*, in welchem die Glosse nach 72 gestellt ist. Ohne Zeichen der Lücke *AB* *οὐδετέρω A* 8. *ποιός τις*] *ποιότης A* 8. 9. *προσαπέπεμψεν*] *προσέπεμψεν B* 12. *Μεθ.* fehlt *B* 13. *κυμάτων*] *κύματ' B*, *κύματα A*; verbess. Bergk 15. *ἀμιθρῶ*] *ἀμυθρῶ A* *ἀμιθρῆσαι*] *ἀμιθρήσω AB* 16. *κατὰ*] *καὶ κατὰ A* *τύπιλος*] *πίτυλος πιτύλου A*, *πίτυλλος τίπυλλος B* (*B* ebenso in d. Glosse *Ἀλλόκοτον: πίτυλλος*). 16. 17. *οὕτως* bis *Μεθ.* fehlt *B* 18. *Ἀριστοφ. εἶτ'* fehlt *B* 19. *ἀμίδω A* *Ἡσίοδος* bis *οὖν* fehlt *B*

ἀντ' ἠελίοιο τετραμμένος ὀρθὸς ὀμιχεῖν“ (W. u. T. 727). *παρὰ τὸ ὀμιχεῖν οὖν ὀμίς καὶ ἀμίς, ὡς ὀκριόεις ἀκριόεις. ἢ παρώνυμον ὑποκοριστικὸν ἄμη ἀμίς, ὡς σκάφη σκαφίς. Μεθόδιος.*

*Athenaios VII 277 E ff. 75) *Ἀμία· ἐστὶ δὲ ἰχθῦς· ἅς φησιν Ἀριστοτέλης* (310 R.) *εἶναι καρχαρόδοντας καὶ τῶν συναγελαζομένων καὶ σαρκοφάγων. χολὴν δὲ ἔχει ἰσομήκη τῷ ἐντέρῳ καὶ σπλῆνα* ⟨ὁμοίως⟩. *εἴρηται δὲ παρὰ τὸ ἅμα ἰέναι τοῖς παραπλέουσιν. ἐστὶ γὰρ συναγελαστική.*

*Philoxenos 76) *Ἀμίσαλλος· οἷον „ἀμίσαλλοί τε γέροντες*“ (Kallim. Schn. Fr. anon. 71) *κατ' ἔνδειαν τοῦ γ. ἀμίσγαλλος, ὁ δυσάρεστος, ὁ μὴ ἄλλῳ μισγόμενος.*

Philoxenos 77) *Ἀμίστυλλον· σημαίνει τὸν μὴ κεκομμένον „θέντες ἀμίστυλλον ταῦρον ἐπὶ σχαλίδων*“ (Kallim. Schn. Fr. anon. 117). *Φιλόξενος.*

*Schol. Il. 16, 328 78) *Ἀμισώδαρος· ὄνομα κύριον· „υἷες ἀκοντισταὶ Ἀμισωδάρου, ὅς ῥα Χίμαιραν θρέψεν*“.

*Schol. Il. 16, 419 79) *Ἀμιτροχίτωνας· ἀζώστους. ἢ μίτρᾳ καὶ θώρακι μὴ χρωμένους.*

Orion 80) *Ἀμιχθαλόεσσαν· σημαίνει δὲ τὴν ⟨ἐκ⟩ θαλάσσης ἀπρόσμικτον οὖσαν [τῇ γῇ] διὰ τὸ μὴ ἔχειν λιμένα. „καὶ Λῆμνον ἀμιχθαλόεσσαν*“ (Il. 24, 753). *γέγονε παρὰ τὸ ἄμικτος ἀμικτόεις ὡς βροτὸς βροτόεις, καὶ τροπῇ τοῦ κ εἰς χ ἀμιχθόεις καὶ τὸ θηλυκὸν ἀμιχθόεσσα ὡς αὐδήεις αὐδήεσσα, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἀμιχθαλόεσσα. ἢ διὰ τὸ τῶν ἐνοικούντων ἀπρόσιτον καὶ ἀνήμερον, ὥς φησιν Ὅμη-*

---

75) Über die Benutzung des Athenaios vgl. S. 54. 60. 76) Der Stellung nach Philoxenos; er führt auf die Urform *μίσγω* alle Ableitungen zurück. 77) Philoxenos; auf *μει* oder *μι* wird *μεῖον μικρός, μιστύλλω* u. s. w. zurückgeführt. Vgl. Anecd. Paris. III 357, 24; Schol. B zu Il. 1, 465. 78) Scholion, da unmittelbar Glosse zu demselben Buch folgt; vgl. Suidas. 79) Vgl. Schol. Did. Suidas. Eustath. 1056, 63. Apoll. Soph. 26, 12. Hesych. 80) Orion; ähnlich Method. im *Αἱμωδεῖν* 618, 50. Vgl. Schol. Ven. *A* (und *B*) zu Il. 24, 753. Eustath. 1374, 15. Apoll. Soph. 27, 14. Hesych.

---

1. *ἠελίοι A*; vielleicht *ἠελίου* *ὀρθῶς A* 2. *ὡς ὀκρ. ἀκρ.* fehlt *B* *παρωνύμος B, παρωνύμως A* 2. 3. *ὑποκοριστι A B* 3. *σκαφίς*] *σκαφῆς A* *Μεθ.* fehlt *B* 4. *ἅς*] *ὡς A B* *εἶναι B, ἔστι A* 5. *καρχαρόδοντος A B* 6. *ἔχει*] wahrscheinlich *ἔχειν* wie Ath. *ἐντέρῳ*] *ἑτέρω A* *σπλῆνα*] *πλῆναι A* ⟨*ὁμοίως*⟩] ergänzt aus Ath. 7. *παραπλέουσι A*; *ταῖς παραπλησίαις* Ath. richtig *συναγελαστι A B* vgl. Ath. 8. *Ἀμίσαλος* (λ übergeschr.) *A* *τε*] Vulg. *τοι A B* 9. *ἀμίσγαλος A B* *ἄλλο B* 11—13. *Ἀμίστυλλον· θέντες ἀμίστυλλον ταῦρον ἐπισχα* (δ übergeschr.) *ἀντὶ τοῦ τὸν μὴ κεκομμένον: B* 12. 13. *ἐπὶ σχαλίδων. Φιλόξενος*] *ἐπισχα* (δ übergeschr.) *φι = φιλόξενος A*. Der Name des Philetas kann nicht so abgekürzt werden. — *ἐπ' ἐσχαρόφιν* Dübner 14. *υἷες*] *ες B, ὡς ἐς A* 15. *χίμερον A, χίμαιρα B* *θρέψεν* fehlt *A* 16. 17. *χριωμένη A* 18. *δὲ* fehlt *B* *τὴν θάλασσαν τὴν ἀπρ. A B* verb. Kaibel 19. *ἀμιχθαλόεσαν B* 20. *ἄμικτος*] *ἄμικτον A* 23. *οἰκούντων B*

ρος „οἴχεται εἰς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους“ (Od. 8, 294). οὕτως Ὠρίων.

81) Ἀμμεῖναι· εἴρηται εἰς τὸ Ἀμβαλλώμεθα.

82) Ἄμμορον· δύσμορον, κακόμορον. μόρος γὰρ ὁ θάνατος.

83) Ἄμναμοι· οἱ ἀπόγονοι. κυρίως δὲ παρὰ τὴν τῶν Κυρηναίων διάλεκτον οἱ τῶν ἀμνῶν ἀμνοὶ ἄμναμοι λέγονται, τουτέστι τῶν ἀρνῶν ἄρνες. πρὸ γὰρ τοῦ κερατοφυῆσαι ἄμναμοι λέγονται. ἀπὸ τοῦ ἀμνὸς ἄμναμος. οὕτως Ὠρίων καὶ ἄλλοι. * Methodios und Orion

84) Ἀμνίον· τὸ αἱμοδόχον ἀγγεῖον. παρὰ τὸ αἷμα αἱμνίον καὶ ἀμνίον, οἷον „Περσεὺς δ' ἀμνίον εἶχε ⟨γέρων δ'⟩ ἱππηλάτα Νέστωρ“ (Od. 3, 444). * Methodios

85) Ἄμνιος· εἴρηται εἰς τὸ Ἀρνειός. *Choiroboskos, Orthogr.

86) Ἀμνιός· ποταμὸς περὶ τὸ Θεμισκύριον. εἴρηται, ὅτι μνία οὐκ ἔχει, ⟨ἢ⟩ διὰ τὴν τραχύτητα μνιός καὶ Ἀμνιός. οὕτω Μεθόδιος. Methodios

87) Ἀμνοί· τὰ πρόβατα, μάλιστα τὰ μικρά. παρὰ τὸ μένος ἄμενος καὶ κατὰ συγκοπὴν ἀμνός, οἱονεὶ ὁ ἀδύνατος· καὶ παρώνυμον ὑποκοριστικὸν ἀμνίς. ἢ παρὰ τὸ μνοῦς, ὅπερ σημαίνει τὴν ἐκ γενετῆς μαλθακὴν αὐτοῦ τρίχα, ἐξ οὗ μνούδιον, γίνεται ἀμνός, οἱονεὶ ὁ ἐστερημένος τῶν νηπίων τριχῶν. Μεθόδιος. Methodios

88) Ἀμογητί· ἄνευ μόγου καὶ κόπου. εἰς τὸ Νεμέθοντο. *Schol. Il. 11, 637

89) Ἀμολγῷ· τῷ μεσονυκτίῳ, καθ' ὃ οὐκ ἀμέλγουσιν. ἑσπέρας Orion

82) Vgl. Apoll. Soph. 29, 9. Hesych. Suidas. 83) Da Method. sich häufig mit Orion berührt, ist er wohl mit benutzt. Vgl. Hesych, Suidas, Tzetzes zu Lyk. 144. 84) Meth. vgl. Cram. An. Ox. I 81, 24 ganz aus den Scholien. Vgl. Eustath. 1476, 35; Apoll. Soph. 25, 26; Suidas. 85) Glosse Ἀρνός enthält unter dem Namen Χοιρ. εἰς τὴν Ὀρθογρ. weitere Ausführungen von Cram. Anecd. Ox. II 168, 22 und 174, 18. Dabei wird aus Herodian ἐν τῇ Καθόλου citiert: ὥσπερ ἀμνὸς ἀμνειός ἀγνοῶν ὅτι ἄμνιος σημαίνει τὸν ἀμνὸν καὶ διὰ τοῦ ι γράφεται καὶ προπαροξύνεται u. s. w. 86) Vgl. Suidas. Ἀμνειός. Die Glossenfolge bei Meth. bestätigt die Konjektur Ἀμνιός. 87) Vgl. Orion 19, 19. 88) Glosse Νεμέθοντο fehlt in *AB* und allen Etymol. Ausgeschrieben war in ihr Il. 11, 634—637. Es folgt in 89 ein Zusatz aus Scholien zu demselben Buch. 89) Zweite Erklärung aus Philoxenos, vgl. Method. Cram. An. Ox. I 82, 1; Schol. Ven. *A* zu Il. 11, 173. Eustath. 838, 51. Apoll. Soph. 28, 23 (Hesych. Suidas). Letzter Teil vgl. Schol. Did.

1. εἰς] ὡς *A* σίντηας ἀγριοφόνους *B*, verbessert von Hand 1 2. οὕτως Ὠρ. fehlt *B*, φβ *A* 3. Ἀμμεῖναι] Glosse fehlt *B* ἀμβαλόμεθα *A* 6. διαλέκτω *A*, διαλε/ *B* 7. γὰρ fehlt *A*, γὰρ πρὸ *B* ἄμν. λέγ. fehlt *A* 8. ἄμνομος *A* ὦρος *B*, φβ *A* καὶ ἄλλοι fehlt *B* 9. αἱμνύον *AB* 10. περεεῦς δαμνίον εἶχεν *A*, εἶχεν auch *B* ἱππηλάτω *A*, ἱππ. Νέστ. fehlt *B* wie Epim. 12. Ἀμνίος *A*, Ἀμνειος (ι über ει) *B* 13. Ἀμνειός *AB* Θεμισκύριον] θεμισκν *B*, θεμίσκυρον *A* ὅτι διὰ τὴν τραχύτητα μνείαν οὐκ ἔχει μνειὸς καὶ ἀμνειός *AB*. vgl. Et. Magn. 472, 44 μνιός ὁ ἁπαλὸς παρὰ Εὐφορίωνι, was hierdurch gesichert wird οὕτω Μεθ. fehlt *B* 15. Ἀμνοί] Ἀμνός *AB*. Die Glosse steht in *A* nach Ἀμογητί 15—17. παρὰ bis ἀμνίς· ἢ fehlt *A* 17. γενητῆς *B* μνούδην *AB* 19. Μεθ. fehlt *B* 20. μόγου καὶ fehlt *B* τὸ Νεμέθοντο] τὸν ἐμέθοντο *AB* 21. καθ' ὃ] καθω *A*

γὰρ καὶ ⟨πρὸ⟩ ἡμέρας εἰώθασι τοῦτο ποιεῖν. ἢ παρὰ τὸ ⟨μολεῖν μολὸς⟩ μολῷ καὶ κατὰ πλεονασμὸν τοῦ γ̄ μολγῷ καὶ μετὰ τοῦ στερητικοῦ *Schol. Il. 11, 173* ᾱ ἀμολγῷ, ἐν ᾗ οὐδεὶς μολίσκει. οὕτως Ὠρίων. ‖ ἢ ἐν καιρῷ ἐν ᾧ συμβέβηκεν ἀμέλγεσθαι τὰ πρόβατα.

Methodios 90) Ἀμορβὴς καὶ ἀμορβεύς· σημαίνει τὸ μεσονύκτιος· παρὰ τὴν ὄρφνην ἀμορφνής, καὶ ἐλλείψει τοῦ ν̄ καὶ τροπῇ τοῦ φ̄ εἰς τὸ β ὡς ἐν τῷ κυφός κύβος, Φερενίκη Βερενίκη ⟨ἀμορβής⟩. σημαίνει καὶ τὸν ἀκόλουθον, ⟨ἀμορμός⟩ ὁ ἅμα τινὶ ὁρμῶν, τροπῇ τοῦ μ̄ εἰς τὸ β ἀμορβός καὶ ἀμορβής. οὕτω Μεθόδιος.

Methodios 91) Ἀμοργίνοις· χιτῶνας σημαίνει. ⟨τοὺς ἀπὸ Ἀμοργοῦ⟩ ἐκδέχονται, καθ' ἃ καὶ Θηραῖον τὸν ἀπὸ Θήρας τῆς νήσου. δηλοῖ καὶ χρώματος ποιότητα, παρὰ τὴν ἀμόργην· ⟨εἰ δὲ παρὰ τὴν ἀμοργίδα⟩, δηλοῖ ὁμοίαν βύσσῳ καὶ πολυτελῆ ἐσθῆτα. Μεθόδιος.

92) Ἄμοχθος· σημαίνει τὸν ἀκακοπάθητον. παρὰ τὸ μόχθος ἄμοχθος· τοῦτο παρὰ τὸ μόγος πλεονασμῷ τοῦ θ̄ καὶ τροπῇ. τὸ δὲ μόγος παρὰ τὸ μὴ ἐᾶν γάνυσθαι τὴν ψυχήν.

Herodian, περὶ παθῶν 93) Ἀμός· ὥσπερ ἀπὸ τοῦ σφέτερος γίνεται Δωρικῇ διαλέκτῳ σφός καὶ ἀπὸ τοῦ ὑμέτερος ὑμός, οὕτως καὶ ἀπὸ τοῦ ἁμέτερος ἀμός Δωρικῶς. ἢ θέμα ἐστὶ τῆς Δωρίδος διαλέκτου. οὕτως Ἡρῳδιανός.

Schol. Il. 8, 276 94) Ἀμοπάονα· „Πολυαιμονίδην Ἀμοπάονα“. ψιλωτέον πάντα, ἵνα κύρια γένηται· παραιτητέον δὲ τοὺς διαλύοντας τὸ Ἀμοπάονα. πιθανώτερον γάρ ἐστι κύριον αὐτὸ παραλαβεῖν, ἵνα τὸ προκείμενον αὐτοῦ πατρωνυμικὸν τυγχάνῃ. οὕτως ἐν ὑπομνήματι.

Orion 20, 29 95) Ἄμοτον· ἀπλήρωτον. παρὰ τὸ μένω γίνεται μοτός καὶ ἄμοτος καὶ ἄμοτον, οἷον „ἄμοτον μεμαῶτι μάχεσθαι“ (Il. 13, 80). ἐὰν ⟨δὲ τὸ⟩ ὑπομονητικὸν σημαίνῃ, ἐστὶ τὸ ᾱ ἐπιτατικόν. ἢ μότα

---

90) Vgl. Schol. Nikandr. Ther. 28. Schol. Kall. Hymn. III 45. Suid. Ἀμορβός. Schol. Nikandr. Ther. 349. 91) Method. aus Schol. zu Aristoph. Lysistr. 150 (ἀμοργίνοις): οἱ μὲν χρώματος εἶδος τὴν ἀμόργην, οἱ δὲ ἀπὸ νήσου Ἀμοργοῦ τοὺς ἀμοργίνους χιτῶνας, ὡς τὰ Θηραῖα ἀπὸ Θήρας νήσου (cf. Suid., ἀμόργεια). Vgl. Hesych. Bekk. Anecd. I 204, 9. 210, 29. Schol. Plat. epist. 13 92) Vielleicht Meth. wegen der alphabet. Reihenfolge. 93) Vgl. oben Gl. 31. Mit ἢ beginnt die korrigierende Ansicht des zweiten Autors. Vgl. Ind. lection. Rostock 1891/92. S. 16 ff. 94) Wörtlich gleich Schol. Ven. *A*. 95) Vgl. Schol. Od. 6, 83. Eustath. 495, 14. 1185, 30. Apoll. Soph. 25, 25. Hesych. Teil II vgl. Schol. Ven. *A*

---

1. ⟨πρὸ⟩ Kaibel 2. μολγῷ] μοργῷ *A* 3. Ὠρίων] $\overset{\rho}{\text{ὠ}}$ *AB* 5. ἀμορβεύς] ἀμορβές *A* wegen μεσονύκτιον; vgl. Oppian Kyneg. 3, 295 μεσονύκτιον *AB* παρὰ τὴν] παρὰ τὸ *AB* 6. ἀμορφής *A* ν̄ fehlt *B* 7. φερνίκη βερνίκη *B* 7. καὶ fehlt *B* 9. ἀμοβής *A* 10. Ἀμόργινος χιτῶνα $\overset{\eta}{\text{ὁ}}$ *AB* 12. χρήματος ὁμοιότητα *AB* δηλοῦν *AB* 13. Μεθ. fehlt *B* 14. ἀκακοπάθητον] ἀκακ$\overset{\pi}{\text{ο}}$ *A*, κακοπ$\overset{\vartheta}{\text{α}}$ *B* 15. καὶ πλεονασμῷ *B* θ̄] η̄ *A*, χ̄ *B* 16. γάννυσθαι *B* 18. σφάς *A* 19. οὕτως Ἡρ. fehlt *B* ἵνα πάντα κύρια *A* 21. ἀμοπαίονα *A* 23. οὕτως ἐν $\overset{\pi}{\text{υ}}$ *A*, fehlt *B* 25. ἄμωτον μεμώωτι *A* 25. 26. μάχεσθαι ἀνυπομόνητον ἵνα ἐστὶ τὸ ᾱ *AB*

λέγονται τὰ ῥάκη τὰ πληρωτικὰ τῶν πληγῶν, καὶ τὸ ἄμοτον κατὰ ἀπόφασιν τὸ μὴ πεπληρωμένον, ἀπὸ μεταφορᾶς τῶν μὴ πεπληρωμένων τραυμάτων, τουτέστιν τῶν μότων. οὕτω μὲν Ὠρίων. ‖ *ἐγὼ* Schol. Il. 4, 440 *δὲ εὗρον ἐν ὑπομνήματι Ἰλιάδος ὅτι ἄμοτον λέγεται τὸ ἀπλήρωτον· ἔνθεν καὶ μότα τὰ πληρωτικὰ τῶν πληγῶν· ἴσως ἀπὸ τοῦ μετρῶ ἄμοτρον καὶ ἄμοτον.*

96) *Ἀμορβεύοντο· σημαίνει δὲ τὸ διεκόμιζον. Νίκανδρος ἐν* *Schol. Nikandr. *Θηριακοῖς „νωθεῖ γὰρ κάμνοντες ἀμορβεύοντο λεπαργῷ“* (V. 349), *τῷ ὄνῳ, ἐπεὶ κατὰ τὴν κοιλίαν λευκός ἐστιν.*

97) *Ἀμορβεύεσκεν· συνῳδοιπόρει, οἷον „σὺν δ' ἡμῖν ὁ πελαργὸς ἀμορβεύεσκεν ἀλοίτης“* (Kallim. Schn. Fr. an. 72). *παρὰ τὸ ἀμορβεύειν. τοῦτο παρὰ τὸ ἅμα ὁρμᾶν καὶ πορεύεσθαι.*

98) *Ἀμοιβήδην· Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά* (2,1069—72. *Schol. Apollon. 1075)· *„ἀμφὶ δὲ χαλκείας κόρυθας κεφαλῇσιν ἔθεντο δεινὸν λαμπομένας ἐπὶ δὲ λόφοι ἐσσείοντο φοινίκεοι· καὶ τοὶ μὲν ἀμοιβήδην ἐλάασκον, τοὶ δ' αὖτ' ἐγχείῃσι καὶ ἀσπίσι νῆ' ἐκάλυψαν ἄλλῳ δ' ἔμπεδον ἄλλος ὁμῶς ἐπαμοιβὸς ἄρηρεν“. σημαίνει δὲ τὸ ἀμοιβήδην τὸ ἐνηλλαγμένως, τὸ δὲ ἐπαμοιβὸς τὸ ἀλλεπαλλήλως.*

99) *Ἀμοιβοί· σημαίνει δὲ τὸ ἐπάλληλοι.* ‖ *„οἵ ῥ' ἐξ Ἀσκανίης* *Schol. Il. 13, 793 *ἐριβώλακος ἦλθον ἀμοιβοί“· ἢ ἐξ ἀμοιβῆς καὶ ἐναλλάξεως παραγεγονότες συμμαχῆσαι τοῖς Τρωσίν.*

100) *Ἀμπεχόνη· Ἀμπίσχουσα· εἴρηται εἰς τὴν Ἀμφί πρόθεσιν.*

101) *Ἄμπαυμα· ἀνάπαυμα καὶ κατὰ συγκοπὴν ἄμπαυμα. Ἡσίοδος ἐν Θεογονίᾳ, οἷον „λησμοσύνην τε κακῶν ἄμπαυμά τε μερμηράων“* (V. 55).

---

96) Vgl. Schol. Nik. Ther. 349 (stark abweichend). 97) Vgl. zu 90. 98) Das erhaltene Schol. entspricht nicht. 99) Erster Teil vielleicht aus der vorigen Glosse gebildet; zweiter = Schol. Ven. *A* u. Did. zu 13, 793 (vgl. Apoll. Soph. 27, 28) 100) Vgl. Gl. 163. 101) Vielleicht Schol. zu Hesiod.

---

1. *τὸ*] *τὰ A*, fehlt *B* 2. *μὴ πεπληρωμένον*] *μὴ πληρώμενον AB* 2. 3. *τῶν μὴ πεπληρωμένων*] *τῶν πεπλανημένων A* 3. *οὕτω*] *οὐ A* *Ὠρίων*] *ὠ*[β] *A*, *ωρίων B* 4. *ὑπομνήμασιν A*, *υ*[π] (und *ι*[λ]) *B* *λέγεται*] *λέγει A* 5. *ἔνθεν*] *ἐν*[θ] *B*, *ἔνθα A* 6. *ἄμοτον*] *ἄμετρον A* 7. *Ἀμορμεύοντο A*, *Ἀμορεύοντο B* *διεκόμιζον* so *AB* 7. 8. *ἐν Θηρ.* fehlt *B* 8. *ἀμορμεύοντο A*, *ἀμοργεύοντο B* *λοπαργῷ AB* 10. *Ἀμορμεύεσκεν A*, *Ἀμορμεύεσκε B* *ἡμῖν δ' AB*; für *πελαργὸς* Lobeck, Pathol. 383 *λεπαργός* 11. *ἀμορμεύεσκεν AB* *ἀμορμεύειν AB* 14. 15. *ἀμφὶ* bis *φοινίκεοι* fehlt *B* 14. *χαλκέας* Apoll. codd. Laur. Guelf. 15. *ἐσίοντο A* *ἀμοιβήδεις B* 15—17. *τοὶ δ'* bis *ἄρηρεν* fehlt *B* 16. *ἀσπίσιν ἢ A* 17. *ἐνηλλαγμένον A*, *ἐξηλλαγμένως B* 18. *A* wiederholt *τὸ δὲ ἐπαμοιβὸς ἀντὶ τοῦ ἀλλεπαλλήλως* 20. *ἢ* fehlt *B*, *ἤτοι* Schol. 20. 21. *παραγεγονότες*] *παρὰ τὸ γεγονότες A* 22. *Ἀμπίσχουσα* fehlt hier *A*; *B* hat von der ganzen Glosse nur das Lemma *Ἀμπεχόνη* zwischen den Zeilen; nach Gl. *Ἄμπαυμα* haben *AB* als neue Gl. *Ἀμπίσχουσα· εἴρηται* (fehlt *B*) *εἰς τὴν Ἀμφὶ πρόθεσιν.* Vgl. unten S. 49 A. 1 24) *οἷον* fehlt *B* 24. 25. *μερμερᾶ A*

* Schol. Il. 5, 697 — 102) *Ἀμπνύνθη· ἀνέπνευσεν, ⟨παρὰ τὸ⟩ ἀναπνύω. εἰς τὸ Ἴφθιμος.*

* Schol. Il. 2, 426 — 103) *Ἀμπείραντες· διαπείραντες.*

* Schol. Il. 13, 239 — 104) *Ἀμ πόνον· σημαίνει δὲ τὸ ἐπὶ τὸν πόλεμον. „ὁ μὲν αὖτις ἔβη θεὸς ἀμ πόνον ἀνδρῶν“.*

Methodios — 105) *Ἀμπρόν· σχοινίον τι· καὶ ἀμπρεύειν δὲ τὸ ἕλκειν Καλλίμαχος, οἷον „ἄνδρες † ἐλαιοί Δεκελειόθεν ἀμπρεύοντες“* (Fr. 234). *οἷον ἄμπερόν τι ὄν, τὸ δι' ἀμπερὲς ⟨ἐκ⟩ τῶν ζυγῶν δεδέμενον. Μεθόδιος.*

* Schol. Lykophr. 635 — 106) *Ἀμπρεύω· ὁ μὲν Καλλίμαχος κυρίως ἐπὶ τοῦ ἕλκειν ἔλαβεν τὴν λέξιν οἷον „ἄνδρες † ἐλαιοὶ Δεκελειόθεν ἀμπρεύοντες“. ἀμπρὸν γὰρ κυρίως καλεῖται τὸ σχοινίον τὸ ἕλκον τοὺς βόας, ἢ τὸ ξύλον ⟨τὸ ἐπικείμενον⟩ τοῖς αὐχέσι τῶν ὑποζυγίων. ὁ δὲ Λυκόφρων ἐπὶ τοῦ κακοπαθεῖν ἔλαβεν τὴν λέξιν, οἷον „ἄχλαινον ἀμπρεύουσι νήλιποι βίον“.*

Methodios — 107) *Ἄμπυξ· τὸ γυναικεῖον ἀνάδεμα, ὅ ἐστι στρόφιον· καὶ ἐπὶ χαλινοῦ δὲ εἴρηται, οἷον „χρυσάμπυκας ἤτεεν ἵππους“* (Il. 5, 358). *παρὰ τὸ ἀμφέχειν ἄμφυξ καὶ ἄμπυξ. ἢ παρὰ τὸ ἀναπυκάζειν καὶ ἀνέχειν τὰς τρίχας. Μεθόδιος.*

108) *Ἄμπελος· ἀνάπηλός τις οὖσα, ἡ ἔχουσα ἐν ἑαυτῇ τὸν πηλόν, ἤγουν τὸν οἶνον. τοῦτο παρὰ τὸ πάλλειν καὶ σείειν ἡμᾶς πίνοντας.*

Schol. Dionys. Perieg. 202 / * Methodios — 109) *Ἄμπωτις· ἡ ξηρασία· ἡ ῥαχία· Διονύσιος ὁ Περιηγητής, οἷον „ἄλλοτε μὲν πλημμυρὶς ἐγείρεται, ἄλλοτε δ' αὖτε ἄμπωτις ξηρῇσιν ἐπιτροχάει ψαμάθοισι“. ‖ κυρίως λέγεται ἡ ἀναχώρησις τῆς*

---

102) Gl. *Ἴφθιμος* enthält nur Etymologie dieses Worts. Beabsichtigt oder geschrieben war das Citat Il. 5, 695—697 und längeres Scholion. Vgl. Eustath. 595, 18. Schol. Did. zu 697. 103) Vgl. Schol. Did. 104) Vgl. Schol. Did. 105) Vgl. Suidas, *ἀμπρεύοντες*. 106) Vgl. Schol. 129, 16 ed. Kinkel und Gl. *Νήλιπος· ἀνυπόδητος καὶ μονοχίτων κατὰ στέρησι τοῦ ν̄ ὥσπερ νηνεμία. ‖ τὸ δὲ νήλιποι ἀνυπόδητοι συνήρηται ἀπὸ τοῦ νηλίποδες* (-*δος A B*) 107) Vgl. *Αἱμωδεῖν* 618, 57. Eustath. 1280, 52. Vgl. Schol. Ven. *A* zu 5, 358. Eustath. 556, 24. Suid. Hesych. Apoll. Soph. 25, 5. 108) Vgl. Orion 30, 16 aus Pseudo-Herodians *ἐπιμερισμοί*. 109) Teil I aus Scholien (*ῥαχία* bezieht sich auf *πλημμυρίς*), Teil II aus Erotian wie die Methodios-Glosse 39.

---

1. *Ἀμπνύνθι A* *εἰς τὸ Ἴφθ.* fehlt *B* 2. *διασπείραντες A* 3. *τὸ*] *τὸν A*, fehlt *B* 4. *ἄντιος ἔβη ἐὰν θεὸς A*, aber *ἐὰν* am Rand und außerhalb der Zeile 5. 6. *Καλλίμαχος* bis *ἀμπρεύοντες* fehlt *B* 6. *Καλλίμαχοι ἄνδρες A ἄνδρ'* Vulg. (*ἄνδρες* Sylburg, Bergk u. a. aus Konjektur), *ἠλαιοὶ* Sylburg, *Ἠλεῖοι* Voss, *Ἀθηναῖοι* Bergk, *ἄνδρε νέοι* Schneider; *ἐλαστροῦσιν* (wegen *Δεκελειόθεν*)? *Δεκελειόθεν*] *δ' ἐκλειόθεν A*, verb. von Bentley (Steph., Apollon. Dyskol. de adv. 188, 21 Schn.) 7. *ἀπερόν τι ὂν A* 8. *Μεθ.* fehlt *B* 10. *ἄνδρες*] *ἄνδρ' A B* *Δεκελειόθεν*] *δ' ἐκ λειόθεν A B*; wie oben 13. 14. *ἀμπρεύουσιν ἤλιποι A*, *ἤλιποι βίον* fehlt *B* 16. *εἴρηται*] *τίθεται B* *οἷον* fehlt *B* *εἶτε ἐν ἵππους A*, *ἤτεε δίφρους B* 18. *Μεθ.* fehlt *B* 19. *ἀνάπηλός*] *παρὰ τὸ ἀνάπηλος A B* *ἡ ἔχουσα*] *ἡ μὴ ἔχουσα A B* *ἑαυτῇ*] *αὐτῇ B* 20. *τοῦτο*] *ἢ A B* *πάλλειν*] *πάλιν A* 21. *ῥαχία*] *ῥιχία A B*, verb. von Anon. 22. *οἷον* fehlt *B* 22. *ἄμπωτις*] *ἄμπω τῆς A*

θαλάσσης ἤγουν ἡ ἀναπινομένη θάλασσα. ἐκ τοῦ πῶμι πώσω πῶσις καὶ ἀνάπωσις καὶ ἄμπωσις κατὰ συγκοπήν, καὶ τροπῇ ἄμπωτις. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἡμετέρων σωμάτων ἡ ἐκ τῆς ἐπιφανείας εἰς τὸ βάθος ὑποχώρησις τῆς ὕλης. οὕτως Ἐρωτιανὸς ἐν τῷ περὶ ἐξηγήσεως τῶν λέξεων Ἱπποκράτους (5, 10 ed. Kl.).

110) *Ἀμπλάκημα· ἁμάρτημα ⟨καὶ ἀμπλακίαις ἁμαρτίαις⟩* ‖ *„δώομεν ἀμπλακίην ὡς καὶ πάρος εὐμενέοντες". Ἀπολλώνιος* (Apollon. 1, 1335). *Rhetorikon

111) *Ἀμύρητον· τὸ ἀτέλεστον καὶ τέλος μὴ ἔχον. ἡ μεταφορὰ ἀπὸ τῶν ἐρίων μηρυομένων, μήρυτον καὶ ἀμήρυτον. Μεθόδιος.* Methodios

112) *Ἀμυμώνη· ἡ θυγατὴρ Δαναοῦ. . . . . ἐν ἴσαις συλλαβαῖς ἀπὸ γενικῆς παράγεται θηλυκὰ εἰς η̄, πέρατος περάτη, κάλυκος Καλύκη, ἅρπαγος ἁρπάγη (βαρύνεται δ' ὡς ἐπὶ τοῦ ἐργαλείου), σώφρονος Σωφρόνη, χίονος Χιόνη (ὄνομα ἡρωΐδος). ⟨οὕτως⟩ καὶ ἀμύμονος Ἀμυμόνη καὶ Ἀμυμώνη. Μεθόδιος.* Methodios

113) *Ἄμυκος· γέγονεν τῶν Βεβρύκων βασιλεύς· δέδωκε δὲ νόμον, ἵν' ὅστις ἀπὸ ξένης ἔλθῃ εἰς τὴν αὐτοῦ χώραν ἀποπειρᾶν αὐτὸν ⟨δέῃ⟩ εἰς πένταθλον καὶ οὐκ εἴα ἀναχωρῆσαι, πρὶν ἢ πεῖραν αὐτοῦ σχῇ. „ὅς καὶ ἐπὶ ξείνοισιν ἀεικέα θεσμὸν ἔθηκεν μή τιν' ἀποστείχειν πρὶν πειρήσασθαι ἑοῖο"* (Apoll. 2, 5. 6). *ἔστι δὲ καὶ πόλις Ἄμυκος ἀπ' αὐτοῦ κληθεῖσα.* *Schol. Apoll. 2, 1 ff.

114) *Ἀμῦναι· τὸ ἀποσοβῆσαι. „βούλεται ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι"* (Il. 1, 67). *ἢ τὸ βοηθῆσαι. „ὄφρ' ἐπαμύνω Τρώεσσ' οἵ μέγ' ἐμεῖο ποθὴν ἀπεόντος ἔχουσιν"* (Il. 6, 361). *παρὰ τὴν μύνην, τὴν πρόφασιν, οἷον „ἀλλ' ἄγε μὴ μύνῃσι παρέλκετε"* (Od. 21, 111). Methodios

---

110) Teil I vgl. Suidas. Bekker, An. Gr. 388, 5. Teil II aus eigner Lektüre Vgl. *Δώομεν· ἐνταῦθα σημαίνει τὸ συμβουλεύομεν* (*συμβουλεύω A*) *οἷον „δώομεν ἀμπλακίην ὡς καὶ πάρος εὐμενέοντες* (*B* endet). *τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἐπιφραδέως προσέειπεν"*. 111) Meth. aus Schol. Apoll. 2, 221 (p. 401, 10 K). Vgl. Gl. 64. Suid. Hesych. *Ἀμήρυτον*. Bekker, An. Gr. 387, 18. 112) Meth. aus Herodian *περὶ καθ. προσ.* vgl. Lentz I 304, 3. Anfang vielleicht aus Schol. Apoll. p. 311, 13 oder 516, 2 K. Kallim. Hymn. 5, 48. 113) Paraphrastisches, junges Schol. vgl. S. 388, 5 K. 114) Meth. aus Homerepimer. Eustath. 49, 42. Cram. An. Ox. I 39, 6.

---

1. *πῶμι*] *πῶπι B*, *πώσω* fehlt *B* 3. *ἡμετέρων*] *ἑτέρων A* 4. 5. *οὕτως* bis *Ἱπποκρ.* fehlt *B* 4. *ἡρωδιανός A*; verb. von Anon. 5. *ἐξηγήσεων A* *ἱπποκράτης A* 6. 7. *δώωμεν A* 7. *πάρεσ A* 9. *Ἀμύρητον*] verdorben aus *Ἀμήρυτον*; vgl. Gl. 64. *ἡ μεταφ.*| *ἀπὸ μεταφορᾶς τῶν AB*. Verwirrt sind zwei Konstruktionen: *ἡ μεταφορὰ ἀπὸ* und *ἀπὸ μεταφορᾶς τῶν*. 10. *μηρυομένων*| *μηρυμάτων AB*, *τῶν μηρυομένων ἐρίων* Schol., *μηρυομένων* Paris. 2720. *Μεθ.* fehlt *B* 11. Ohne Lücke *AB*, *πολλὰ γὰρ* ergänzt Vulg. 12. *γενικῆς*] vielleicht *γενικῶν* *πέρας πέρατος περάτη B* 13. *βαρύνεται δ' ὡς*] *καθὼς A*, fehlt *B* 14. *ὄνομα ἡρ. καὶ* fehlt *B* 15. *Ἀμυμόνη καὶ* fehlt *A* 17. *ἵν'* tilgt Kaibel 19. *ὃς καὶ ἐπὶ*] *ὅστ' ἐπι καὶ* Apoll. cod. Laur., *καὶ* fehlt Guelf. *τινες A* 20. *πειράσασθαι A* *ἑ εἶο AB* 21. *κληθεῖσα*] *κτισθεῖσα B*

22. 23. *ἀπολυγὸν A* 23. 24. *τρῶεσ οἷον A*, *τρώεσσιˇ οἳ B* 24. *ἐμείω A* 25. *οἷον* fehlt *B* *ἄλλα γε μιμημησι παρ' ἕλκεται A*, *παρέλκεται* auch *B*

ἀμῦναι οὖν κυρίως τὸ ἀπροφασίστως βοηθῆσαι. ἢ μύνας σημαίνει τοὺς μελλησμούς· ἔνθεν ἀμύνειν τὸ ἀμελλητὶ βοηθεῖν. ἢ παρὰ τὸ ἀμεύω τὸ πορεύομαι γίνεται ἀμεύνω ὡς δύω δύνω καὶ θύω θύνω, καὶ ἐνδείᾳ τοῦ ε̄ ἀμύνω, τὸ μετὰ δρόμου βοηθεῖν. ἢ παρὰ τὸ ἀμείβω ἀμεύω καὶ προσθέσει τοῦ ν̄ καὶ ἀποβολῇ τοῦ ε̄ ἀμύνω, τὸ ὑπὲρ χάριτος βοηθεῖν. — ἀναγκαία δὲ ἡ τοῦ ε̄ ἀποβολή· τὸ γὰρ ν̄ τῇ ε̅υ̅ διφθόγγῳ οὐκ ἐπεντίθεται, ἐπὶ δὲ τοῦ ῡ γίνεται πυκνῶς, οἷον δύω δύνω, θύω θύνω, ἀρτύω ἀρτύνω. Μεθόδιος.

115) Ἀμύντωρ· ὁ βοηθός· ἀπὸ τοῦ ἀμύνω.

Methodios 116) Ἀμύξ· ἐπίρρημα σημαῖνον τὸ ἀμυκτικῶς. παρὰ τὸν μέλλοντα γίνεται ἐπιρρήματα ἀποβολῇ τοῦ ω̄, ὡς ἀπὸ τοῦ δάκνω δάξω δάξ καὶ αὐτόδαξ, κλάζω κλάξω κλάξ καὶ ὄκλαξ· οὕτως ἀμύσσω ἀμύξω ἀμύξ. Μεθόδιος.

117) Ἄμυρος· πόλις Θεσσαλίας.

Methodios 118) Ἀμύσσω· παρὰ τὸ αἷμα αἱμάσσω, τροπῇ τοῦ ᾱ εἰς ῡ ἀμύσσω, ὡς μάθω μάθος καὶ μῦθος. Μεθόδιος. ‖ σημαίνει δὲ τὸ αἱμάσσω καὶ ξέω.

Methodios 119) Ἄμυστις· ἡ ἀπνευστὶ πόσις. παρὰ τὸ μὴ μύειν, ὅ ἐστι ⟨τὰ χείλη συνάγειν· ὅθεν καὶ ἀμυστίζειν, ὅ ἐστι⟩ χανδὸν πιεῖν ἐπὶ πολὺ μὴ μύοντα καὶ συνάγοντα τὰ χείλη. ἢ παρὰ τὸ ἅμα πιεῖν χωρὶς τοῦ διαπνεῦσαι, ὅ ἐστιν ἀπνευστί. ἔστι δὲ καὶ φιάλης εἶδος μεγάλης. Μεθόδιος.

Methodios 120) Ἀμυσχρός· ὁ καθαρός, καὶ ἀμυσχρά ⟨καθαρά· παρὰ τὸ μύσος καὶ τὸ χραίνω ἀμυσχρός⟩ ὁ μὴ μύσει χρανθείς. ἢ παρὰ τὸ μύσος μυσαχρός, ὁ μυσαρός, καὶ μυσχρός καὶ ἀμυσχρός, ὁ ἀμίαντος. Μεθόδιος.

---

115) Aus Method. oder dem Rhetorikon. Vgl. Apoll. Soph. 29, 5. Hesych. Suid. Bekker, An. Gr. 388, 13. 116) Vgl. Schol. Nikandr. Ther. 131. Helladios, Chrestomathie Phot. p. 532 b 3. Bekker. 117) Meth. oder Oros, περὶ ἐθνικῶν. Vgl. Steph. v. Byz. 118) Meth. aus Homerepim. vgl. Cram. An. Par. III 181, 27. An. Ox. I 24, 21. Eustath. 94, 34. Suidas Ἀμύξεις. 119) Vgl. Suidas, Teil II = Orion 8, 24 (Schol. Aristoph. Ach. 1229). Athen. XI 783 D. 120) Parthen. bei Hephaest. 9 (Meineke, Anal. Alex. 261), vielleicht aus Kallimachos.

---

1. ἀμῦναι] ἀμύνω *A B* βοηθῆσαι] βοηθεῖν *B* 2. μελησμοὺς *B*, μελισμοὺς *A* ἔνθεν] ἔνθα *A* ἀμελητὶ *B* 3. δύω] δύο *A* 5. ἀποβολῇ] ἀπο$^{\lambda}$ *A*, wie Καλλι$^{\chi}$ für Καλλίμαχος u. dergl. ἀμύνω] ἀμείβω *A* 6—8. ἀναγκαία bis Μεθόδιος fehlt *B* 6. ἡ τοῦ ε̄ ἀποβολή] ἡ τοῦ ν̄ ἐπιστολῇ *A* 7. 8. οἷον δύνω δύο *A* 9. ὁ fehlt *A* ἀπὸ τοῦ] παρὰ τὸ *B* 10. σημαῖνον] ση$^{\mu}$ *A*, fehlt *B* τὸν fehlt *A* 11. ἐπιρρήματα] ἐπίρρημα *A B* δάκνω] δείξω *A*, fehlt *B* 12. αὐτόδαξ] Accente so in *A B* 13. Μεθ. fehlt *B* 14. Ἄμυρος] Glosse in *B* nach Ἀμύσσω 16. Μεθ. fehlt *B* 17. αἱμάσσω *A*, αἱμάτω *B* 22. Μεθ. fehlt *B* 24. μύσει] μύσσει *A* τὸ μύσος] τὸ μύσω *A B* 25. 26. Μεθ. fehlt *B*

121) *Ἀμυχή·* τὸ ἕλκος τὸ ἐπὶ τοῦ σώματος, ⟨ἢ⟩ ξέσμα. „γενύων τ' ἀμυχάς“ Εὐριπίδης. παρὰ τὸ ἀμύσσειν, ὅπερ ἐκ τοῦ αἱμάσσω γίνεται. ἢ παρὰ τὸν μυχὸν μυχὴ καὶ ἀμυχή, ἡ μὴ εἰς βάθος πληγή. Μεθόδιος. Methodios

122) *Ἄμυδις·* σημαίνει δὲ τὸ ἅμα. „ἄμυδις δέ τε κῦμα κελαινὸν κορθύεται“ (Il. 9, 6). ‖ παρὰ τὸ ἅμα ἄμαδις καὶ τροπῇ τοῦ ᾱ εἰς ῡ ὡς σάρκες σύρκες, τοῦ πνεύματος μεταβληθέντος ⟨ἄμυδις. Ὠρίων⟩. Orion 11, 18

123) *Ἀμυδρός·* παρὰ τὸ μύδρος, ὃ σημαίνει τὸν πεπυρακτωμένον σίδηρον, ἀμυδρός, ὁ ἀλαμπὴς καὶ σκοτεινός. *Orion

124) *Ἀμυγδάλη·* παρὰ τὸ ἐν τῇ κελύφῃ τὸ μετὰ τὸ ἔξω χλωρὸν πολλὰς ἀμυχὰς ἔχειν. Ὠρίων. Orion 30, 21

125) *Ἀμύμων·* ἀμώμητος, ἄψογος. παρὰ τὸ μύω, τὸ ὑποκαμμύω, ὁ μέλλων μύσω, ἐξ οὗ ῥηματικὸν ὄνομα μύμων καὶ ἀμύμων, ὁ μὴ κεκαμμυμένος. ἢ παρὰ τὸ μῶμος γίνεται ἄμωμος καὶ ἀμώμων καὶ τροπῇ τοῦ ω̄ εἰς ῡ ἀμύμων, ὡς χελώνη χελύνη. *Orion 28, 12

126) *Ἄμυκος·* ἐστὶν ὄνομα πόλεως· εἴρηται εἰς τὸ Σταθμός περὶ αὐτῆς. *Schol. Apoll. 2, 1

127) *Ἀμύξεις·* κνήσεις, λυπήσεις „σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις.“ ‖ τὸ θέμα ἀμύσσω, ὁ μέλλων ἀμύξω. τὸ δὲ ἀμύσσω παρὰ τὸ μῦ ἐπίρρημα γίνεται μύζω καὶ ἀμύζω, τὸ λίαν οἰμώζω. τὸ δὲ ζ τρέπεται εἰς δύο σσ Αἰολικῶς καὶ γίνεται ἀμύσσω. ἢ ἀπὸ τοῦ μύζειν καὶ ἐκθλίβειν τὴν ψυχήν. *Schol. Il. 1, 243

---

122) Vgl. Or. 31, 10. Schol. Ven. *A*. Schol. Oppian. Hal. II 547. 123) Vgl. Cram. An. Ox. II 339, 32. 124) Or. aus Herodians Symposion vgl. Athen. II 52 E und Exkurs. 125) Or. aus Pseudoherodians Epimerism. wie die Stellung zeigt, vgl. Cram. Anecd. Paris. III 329, 9. Anecd. Ox. I 22, 28. 46, 17; erste Erklärung aus Philoxenos. 126) **Σταθμός· λέγεται τὸ σταθμίζον καὶ τὸ σταθμιζόμενον καὶ ἡ παράστας καὶ ἡ μάνδρα τῶν προβάτων, ὅλα παρὰ τὴν στάσιν.** Die Stadt *Ἀμ.* wird nur vom Scholiasten zu Apoll. Rhod. (II 159) erwähnt, aber so, daſs in dem Kommentar früher schon gesagt sein muſs, daſs gerade am Landungspunkt der Argonauten die spätere Stadt *Ἄμυκος* lag. Quelle der Bemerkung ist also ein längeres Scholion zu Apollon. II 1: **Ἔνθα δ' ἔσαν σταθμοί τε βοῶν αὐλίς τ' Ἀμύκοιο.** Vgl. Glosse 113. 127) Schol. Ven. *A* interlin. Teil II wohl aus Epim., vgl. Cramer, Anecd. Par. III 342, 30 (Anecd. Ox. I 24, 21).

---

1. **ἕλκος τὸ**] **τὸ** fehlt *A* 1. 2. *ἢ ξέσμα* bis *Εὐριπ.* fehlt *B* **ἔσμ' ἀγενύων** *A* verb. Kaibel (**ξεσμός?**) 3. **τὸ μυχὸν** *A*; vielleicht **τὸ μύχιον** 4. *Μεθ.* fehlt *B* 5. **σημαίνει δὲ**] **δὲ** fehlt *A* **δέ τι κῦμα κελαίνων** *A* 7. **ἄμυδις. Ὠρίων**] ergänzt aus Vulg. 10. **τῇ καλύφῃ** *AB*, **τῷ κελύφει** Or. 11. **ἔχων** *A* *Ὠρ.* fehlt *B*, ꝕ *A* 12. *Ἀμύμων: — Ἀμώμητος* als zwei Glossen *A* *ὑποκαμμύω?* 13. **μύσω**] **μύσσω** *A* *ὄνομα* fehlt *B* 15. **τοῦ ω̄**] **τοῦ ᾱ** *AB* 16. *Ἄμυκος*] Glosse in *A* nach 120 *Ἀμυσχρός*, also im Archet. am Rand. Die Abfolge der Quellen besser in *B* **ἐστὶν** fehlt *B* *Στάθμος*] **σταθ**^{υ}**μος** *A*, **θυμὸς** *B* 17. **αὐτῆς**] **αὐτοῦ** *AB* 18. **ἀμύξεις**] **ἀμύξας** *A*, **ἀμύξ***** *B* (drei Buchstaben verloschen) 19. **ἀμύσσω**] **ὀμύσσω** *A* 20. **ἀμύξω τὸ ** αν** *B* **οἰμώζω**] **οἰμώζειν** *AB*

*Schol. Od. 4, 704 128) Ἀμφασίαν· τὴν ἀφωνίαν καὶ ἔκπληξιν· „δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε“. οὐκ ἀφασίαν. ‖ Apollon. 3, 283 „ἰθὺς δ’ ἀμφοτέρῃσι διασχόμενος παλάμῃσιν ἧκ’ ἐπὶ Μηδείῃ, τὴν δ’ ἀμφασίη λάβε θυμόν“. Ἀπολλώνιος.

*Apollon. 4, 344 129) Ἀμφαδίην· φανερῶς· ἀναφανδόν ⟨ἀμφαδόν ἀμφάδιος⟩ ἀμφαδίην· „ἠὲ καὶ ἀμφαδίην.“

*Schol. Il. 7, 243 130) Ἀμφαδόν· φανερῶς· ἀναφανδόν καὶ ἀμφαδόν· „ἀλλ’ ἀμφαδόν, αἴ κε τύχοιμι.“

*Schol. Il. 12, 160 131) Ἀμφ’ αὖον· „κόρυθες δ’ ἀμφ’ αὖον ἀΰτευν.“ δύο μέρη λόγου εἰσίν, ἀμφὶ καὶ αὖον, οὗ τὸ πληθυντικὸν οἶδεν „αὖα πάλαι περίκηλα“ (Od. 18, 309).

*Schol. Apollon. 3, 251 132) Ἀμφεπονεῖτο· διέτριβεν. „ἐν μεγάρῳ Ἑκάτης πανήμερος ἀμφεπονεῖτο.“

*Schol. Il. 10, 256 133) Ἄμφηκες· ἀμφοτέρωθεν ἠκονημένον, ἀπὸ τοῦ ἠκής.

*Schol. Il. 2, 315 134) Ἀμφεποτᾶτο· περὶ τῶν τέκνων αὐτῆς λυπουμένη ἐπέτατο.

*Schol. Od. 4, 847 135) Ἀμφίδυμοι· πάντοθεν κατάδυσιν ἔχοντες καὶ σκέπην καὶ καταγωγήν, οἷον ἀμφίδυνοι, ἀπὸ τοῦ δύνειν τὸ σκεπόμενον. ‖ *Schol. Apoll. 1, 939 λέγεται δὲ καὶ ὁ λιμὴν τῆς Κυζίκου ἀμφίδυμος διςσὰς εἰσόδους ⟨ἐξ⟩ ἑκατέρου μέρους ἔχων, οἷον „χέρσῳ ἐπιπρηνὴς καταειμένος ἐν δέ οἱ ἄκται ἀμφίδυμοι, κεῖνται δ’ ὑπὲρ ὕδατος Αἰσήποιο“ (Apoll. 1, 939. 940). ἐστὶ δὲ [οἶνος] ποταμός.

---

128) Vgl. Schol. (Apoll. Soph. 29, 8). Das Apollonios-Citat ist vom Verf. selbst zugefügt. 130) Die Quelle bestimmt Gl. *Μέλπειν· τὸ ὑμνεῖν· παρὰ τὸ τὰ μέλη ἤγουν τοὺς ῥυθμοὺς ἔπειν ἤτοι λέγειν. σημαίνει καὶ τὸ παίζειν καὶ τέρπεσθαι. „οἶδα δ’ ἐνὶ σταδίῃ δηΐῳ μέλπεσθαι Ἄρηϊ“* (Il. 7, 241) *τουτέστιν παίζειν καὶ τέρπεσθαι καὶ κινεῖσθαι εὐχερῶς κατὰ τὴν μάχην. ἢ κινεῖσθαι καθάπερ παίζων καὶ ὀρχεῖσθαι. ἔστιν δὲ πλατικώτερον εἰς τὸ Ἀμφαδόν.* Vgl. Schol. Ven. *A* und Schol. Didym. Zu Grunde lag also ein umfangreiches Scholion zu 7, 241—243. 131) Vgl. Schol. Ven. *A*. 133) Schol. Ven. *A* (interl.) und Schol. Did. vgl. Apoll. Soph. 28, 10. Suid. Hesych. Bekk. An. Or. 388, 18. 134) Vgl. Schol. Did. 135) Teil I vgl. Eustath. 1519, 64. Apoll. Soph. 27, 31. Hesych. Teil II vgl. Schol. Laur. p. 358, 3 K. Aus demselben Scholion stammt die Glosse *Μύρω*, in welcher zu der kurzen Erklärung *τὸ ῥέω* die Verse 1, 936 bis 940 geschrieben sind. Vgl. ferner in Gl. *Δίδυμος: καὶ λιμένες ἀμφίδυμοι οἱ δύο εἰσόδους ἔχοντες.*

---

1. 2. *δὴν* bis *λάβε* fehlt *A*; nach *δὴν* drei Buchstaben verloschen, dann *δέ μιν B* 2. nach *λάβε* endet *B* *ἰθὺς δ’*] *ἰὸν A* 3. *μηδεία A* 5. *φανερῶ A*. Die Worte stammen vielleicht aus der folgenden Glosse *ἀμφαδίη A*, fehlt *B*, vielleicht richtig; der Vers wäre dann wie in der vorausgehenden Glosse ohne Erklärung citiert 6. *ἠὲ*] *εἴτε* Codd. Apoll. 7. *φανερῶ A* *καὶ ἀμφαδόν* fehlt *B* 8. *τύχοιμι A, τύχωμαι B* 9. *ἀΰτευν*] *ἄϋτην A* 10. *εἰσίν*] *ἐστίν* Schol. *οἶδεν αὖα B* Schol., *οὐδ’ αὖ A* 12. *ἑκάστης B, μεγάροις Ἑκάτης δὲ* Codd. Apoll. 14. *ἠκής*] *ἥκω AB* 15. *Ἀμφεποτᾶτο*] Gl. in *B* nach *Ἀμφίδυμοι* 18. 19. *ἑκατέρου μέρους*] so Schol. *ἑκατέρωθεν μέρους AB*, entstanden aus *ἐξ ἑκ. μέρους*, wozu *ἑκατέρωθεν* als Korrektur. Richtiger ⟨*μίαν*⟩ *ἐξ ἑκ.* Kaibel 19. *καταειμένος*] *κατιήμενος A* 20. nach *κεῖνται* endet *B*

136) Ἀμφικαρῆ· ἀμφικέφαλα. ⟨ἀμφοτέρωθεν οἱονεὶ κεφαλὰς ἔχοντα⟩ ἐν αὐτῷ. Ὧρος. *Schol. Od. 17, 231

137) Ἀμφιάραος ἢ Ἀμφιάρεως· ὁ ἥρως, ⟨ὁ⟩ Οἰκλέους, ἢ παρὰ τὸν ἀέρα Ἀμφιάρεως, ἢ παρὰ τὰς ἀράς Ἀμφιάραος· μάντις γὰρ ἦν. Μεθόδιος. Methodios

138) Ἀμφίκαυστις· ἡ ὡρίμη κριθή, ἣν ἡμεῖς εὔστραν καλοῦμεν. καὶ οὕτω μὲν οἱ τραγικοί, οἱ δὲ κωμικοὶ ⟨ἐπὶ⟩ τῶν αἰδοίων ἀμφίκαυστις ἀπὸ τοῦ περικεκαῦσθαι. οἱ δὲ τὴν πρώτην ἔκφυσιν τῶν πυρῶν, ἣν εἰλήϊον προσαγορεύουσιν, ὡραῖον, διὰ τὸ τοὺς πρωΐμους καέντων τῶν ἀχύρων ἐπιτηδείους εἶναι εἰς τροφήν. οὕτως Μεθόδιος. Methodios

139) Ἀμφίγυα. Ὅμηρος ἐπὶ τῶν δοράτων λέγει, οἷον „ἔγχεσιν ἀμφιγύοισιν“ (Il. 13, 147), οἱονεὶ τὰ ἑκατέρωθεν γυῶσαι δυνάμενα, ὅ ἐστι χωλῶσαι καὶ πλῆξαι διὰ τῆς ἐπιδορατίδος καὶ τοῦ σαυρωτῆρος, οἷον „γυώσω μέν σφωϊν ὑφ’ ἅρμασιν ὠκέας ἵππους“ (Il. 8, 402), τουτέστιν χωλώσομαι. Ὠρίων. Orion

140) Ἀμφιβέβηκας· ὑπερμαχεῖς. *Schol. Il. 1, 37

141) Ἀμφίβασιν· ὑπερμάχησιν· „δεῖσε δ’ ὅ γ’ ἀμφίβασιν κρατερὴν Τρώων ἀγερώχων.“ ἀντὶ τοῦ ἐφοβήθη γὰρ τὴν ἰσχυρὰν ὑπερμάχησιν τῶν Τρώων. *Schol. Il. 5, 623

142) Ἀμφιγυήεις· ὁ Ἥφαιστος, ὁ βραδὺς ἐν τῷ πορεύεσθαι. παρὰ τὰ γυῖα ὅ ἐστιν ἄκρα, χεῖρες καὶ πόδες. ἢ ὁ ἀμφοτέροις τοῖς γυίοις, ὅ ἐστι τοῖς ποσί, χωλός. *Schol. Il.

143) Ἀμφίδρυφοι· ἐστὶ δρύπτω τὸ ξαίνω. .... τὸ ἀμφοτέρωθεν ἐξεσμένον. *Schol. Il. 11, 393

144) Ἀμφιδέδηε· περιειλεῖται, περιορίζει, ἤγουν ἀμφοτέρωθεν περιεκύκλωσεν· ἀπὸ τοῦ δαίω μέσος παρακείμενος· „ἄστυ τόδ’ ἀμφιδέδηε“ (Il. 6, 329). — „δαιμόνι’, οὐ μὲν καλὰ χολὸν τόν γ’ ἔνθεο *Schol. Il. 6, 326 ff.

136) Vgl. Eustath. 1818, 47. Apollon. Soph. 26, 24. Hesych. 138) Meth. aus Schol. Aristoph. Eq. 1233. Vgl. Aelius Dionysius bei Eustath. 1446, 28 (vgl. E. Schwabe 164, 27) Hesych. Kratin. Fr. 381 K. 139) Vgl. Eust. 925, 43. Apoll. Soph. 28, 11. Suidas. 140) Vgl. Schol. Ven. A und Schol. Did. Vgl. Hesych. Apoll. Soph. 27, 23. 141) Vgl. Apoll. 27, 19. 142) Anders Schol. Ven. B Il. 1, 607. Vgl. Eustath. 151, 33. 720, 13. Apoll. Soph. 26, 14. 144) Vgl.

1. 2. *ἀμφοτέρωθεν οἱονεὶ κεφαλὰς ἔχοντα*] ergänzt aus Schol. und Apollon. Soph. 2. *ὦρος A*, fehlt *B*. Orion kann wegen der Abfolge der Glossen kaum citiert sein 3. *οἰκλέως A* 4. *ἀμφιάρεος A ἀρὰς μάντις γὰρ ἦν ἀμφιάρεως* (-*εος*) *AB* 5. *Μεθ.* fehlt *B* 6. *Ἀμφίκαυτις* (wie Schol. Arist.?) *ἡ ὡρινὴ A*, *ὀρεινὴ B* 9. *ἠλήϊον AB*; vgl. Hesych *εἰλήϊον· ἐν ἡλίῳ θερμανθέν*, was hierdurch gesichert wird *ὡραίων B*; vielleicht *ὡραίαν* *τὸ* fehlt *B* 10. *οὕτως Μεθ.* fehlt *B* 11. *Ἀμφίγυια AB* (im Text, *B* am Rand *Ἀμφίγυα*) *λέγει*] *λέγεται A* 12. *ἀμφιγύοισι A* *γνῶσαι A* 14. *γνώσω A* *σφωϊν* enklitisch: Grammatiker 15. *Ὠρ.*] *ὠβ A*, fehlt *B* 17. *δεῖσε*] *δεῖσαι B* *κρατερὴν*] *κρατερεῖν A* 21. *γυῖα*] *γῦα B* 22. *γυίοις*] *γύοις B* 23. *ξαίνω*] *ξηραίνω B* 25. *Ἀμφιδέδησε B* Text und Rand, aber *σ* ausradiert *ἤγουν* fehlt *B* 26. *δαίω*] *δέω AB* 27. nach *ἀμφιδέδηε* endet *B* *δαιμόνι’ οὐ*] *δαιμονιοῦ A*

θυμῷ" (Il. 6, 326) *ἀντὶ ⟨τοῦ⟩ οὐ καλῶς νῦν τὴν ὀργήν, ἣν κατὰ τῶν Τρώων ἔχεις διὰ τὸ παραδοῦναί σε τῷ Μενελάῳ βούλεσθαι, οὐδὲ ἐν καιρῷ ταῦτα ποιεῖς. ἢ οὐ καλῶς νῦν ὀργίζῃ ἡγούμενος τοὺς Τρῶας ἀγανακτεῖν κατά σου.*

Methodios 145) *Ἀμφικέφαλος· κλίνης εἶδος παρ' Ἀθηναίοις. παρὰ τὸ ἑκατέρωθεν ἀνάκλισιν ἔχειν καὶ προσκεφάλαιον. Μεθόδιος.*

*Methodios 146) *Ἀμφιλαφές· τὸ δασύ· ἀμφιλαβές τι ὄν, τὸ ἑκατέρωθεν ληπτὸν † μέρος διὰ τὴν δασύτητα· τροπῇ τοῦ β̄ εἰς φ̄. ἢ παρὰ τὴν ἀφήν.*

147) *Ἀμφιελίσσας· αἱ νῆες αἱ ἀμφοτέρωθεν ταῖς κώπαις ἐλαυνόμεναι. ἢ ⟨πρὸς⟩ ἑκάτερα τὰ πλευρὰ στρεφόμεναι.*

Methodios 148) *Ἀμφίπολις· πόλις Θράκης, ἥτις ἐκαλεῖτο πρότερον Ἐννέα ὁδοί· διὰ τὸ περιέχεσθαι καὶ περιοδεύεσθαι ὑπὸ τοῦ Στρυμόνος ποταμοῦ. Μεθόδιος.*

Herodian, *περὶ παθῶν* 149) *Ἄμφις· τοῦτο οὐ συγκοπή, ἀλλὰ μετασχηματισμός. ἀπὸ γὰρ τοῦ Ἀμφιάραος Ἄμφις ὡς παρ' Αἰσχύλῳ* (Fr. 412)*· ὥσπερ ἀστράγαλος ἄστρις καὶ Ἰφιάνασσα Ἶφις καὶ Θρασυκλῆς Θράσυλλος καὶ Βαθυκλῆς Βάθυλλος ὑποκοριστικά. ταῦτα γὰρ μετασχηματισμοὶ καλοῦνται, ἐπειδὴ οὐ συμφωνεῖ ἡ κατάληξις. — οὐδέποτε γὰρ συγκοπὴ γίνεται τριῶν συλλαβῶν. ἀλλ' οὐδὲ πάλιν δυνάμεθα λέγειν ἀποκοπήν, ἐπεὶ τὸ σ̄ ἔχει τῆς τελευταίας συλλαβῆς. ὅπου γὰρ τῆς τελευταίας συλλαβῆς τηρηθῇ ⟨τὸ ἐν τέλει⟩ στοιχεῖον, οὐ λέγομεν ἀποκοπήν. ὥστε μετασχηματισμός ἐστιν.* ‖ *οὕτως Ἡρωδιανὸς περὶ παθῶν.*

Herodian, *περὶ παθῶν* 150) *Ἀμφίς· ἀπὸ τῆς ἀμφί προθέσεως γίνεται ἀμφίς ἐπίρρημα, ⟨ὡς⟩ τὸ χωρίς, οἷον „εἴπερ νέρτεροί εἰσι θεοί, Κρόνον ἀμφὶς ἐόντες"* (Il. 15, 225) *οὐδὲ γὰρ δυνάμεθα λέγειν πρόσθεσιν ἢ πλεονασμὸν τοῦ σ̄. Ἡρωδιανός.*

151) *Ἀμφίβασιν· „στῆσε δ' ἀμφίβασιν Τρώων"* (Il. 5, 623).

Schol. Did. Il. 6, 326—329. 145) Komikerglosse. Hesych; Photios, *κλίνη ἀμφικέφαλος*. 146) Zu Kallim. Hymn. VI 27. Daher und wegen der alphabet. Abfolge wohl Methodios. 147) Vgl. Schol. Ven *B*. Il. 2, 165. Apoll. Soph. 26, 1. 148) Vgl. Suidas. Steph. v. Byz. 149) Vgl. Ind. lect. Rostock. 1891/92, p. 19. Die Worte *οὐδέποτε γὰρ* bis *μετασχηματισμός ἐστιν* enthalten ein Scholion zu dem übrigen Teil des Textes. 150) Vgl. Cram. Anecd. Ox. I 66, 28 ff. 151) Vgl. Apoll. Soph. 27, 19 (vgl. Gl. 141.)

---

1. *ἣν*] *τὴν*? 2. *βούλεσθαι*] *βουλόμενοι A* 3. *ποιεῖ A* 4. *της τρώας ἀγανακτὴν A* 6. *Μεθ*. fehlt *B* 7. *ἀμφιλαβές*] *ἀμφιλαφές A* 8. *μέρος B*, *μὲν A*, vielleicht aus *ἑκατέρωθεν λαμβανόμενον*, wozu *ληπτόν* Glosse 10. *αἱ ἀμφ*. fehlt *B* 12. *πόλις Θράκης*] *πόλις ἀθηναίων ἢ θράκης B* 12. 13. *Ἐννέα ὁδοί*] *ἐναοδοί AB* 14. *Μεθ*. fehlt *B* 16. *γὰρ* fehlt *B* 18. *καὶ Βαθ. Βάθυλλος* fehlt *A* 23. *περὶ παθῶν* fehlt *B* 25. ⟨*ὡς*⟩ Kaibel *εἴπερ*] *οἵπερ* Homer. *εἴπερ* bis *εἰσι* fehlt *B* *νέρτεροί*] *νέτεροι A* *θεοῦ Κρόνου ἀμφὶ AB* 28. *στῆσε A*, *στῆσαι B*, *δεῖσε δ' ὅ γ'* Homer.

κυρίως ἀμφίβασις λέγεται ἡ περὶ τοῦ νεκροῦ μάχη. περιβάντες γὰρ τὸν νεκρὸν ἀγωνίζονται ὑπὲρ τοῦ σωθῆναι ⟨αὐτόν⟩.

152) *Ἀμφισβητεῖν· τὸ ζητεῖν, πλεονασμῷ τοῦ β̄. ἔστι γὰρ ἀμφισητεῖν. ἢ παρὰ τὸ ἀμφίς καὶ τὸ βάζειν, ἵνα σημαίνῃ τὸ ἀμφιλογεῖν. πολλάκις δὲ πλεονάζει τὸ β̄ ὡς ἐν τῷ Ἄδηρον Ἄβδηρον· ἄδηρος γάρ τίς ἐστιν· καὶ σίδαι σίβδαι. καὶ οὕτως μὲν ὁ Μεθόδιος.* ‖ *ὁ δὲ Ζηνόβιος λέγει, ὅτι δύναται μὴ παρὰ τὴν ἀμφί συγκεῖσθαι πρόθεσιν, ἀλλὰ παρὰ τὸ ἀμφίς ἐπίρρημα, ἵνα σημαίνῃ τὸ κεχωρισμένως βαίνειν· τοιοῦτοι γὰρ οἱ διστάζοντες. εἰ δὲ τοῦτο, εὐλόγως μὲν ἔξωθεν κέκλιται, σημειῶδες δέ, εἰ παρ' ἐπίρρημα συνετέθη. εἰ δὲ παρὰ τὴν ἀμφί πρόθεσιν σύγκειται, πλεονασμὸν δέξαιτο ⟨ἂν⟩ τοῦ σ̄ καὶ παραλόγως κλιθείη. Ἀττικῶς οὖν παρὰ προθέσεως οὔσης τῆς συνθέσεως ἔσωθέν τε καὶ ἔξωθεν τὴν κλίσιν πεποίηκε Πλάτων ἐν Γοργίᾳ „ἔοικεν ἄρα οὐ περὶ τούτου, ὦ φίλε, ἠμφεσβητήσαμεν, σὺ μὲν τὸν Ἀρχέλαον εὐδαιμονίζων“* (p. 479 D), *⟨ἔξωθεν δὲ⟩ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν μυστηρίων· „περὶ τούτων ἠμφισβήτουν οὗτοί τε οἱ μηνύσαντες“* (§ 27). *ἡ δὲ ἔσωθεν κλίσις πάντως παράλογος ῥητοῦ μὴ ὄντος τοῦ ἁπλοῦ.*

Methodios — Zenobios

153) *Ἀμφιέννυται· παρὰ τὸ ἕω, τὸ ἐνδύομαι· πλεονασμῷ τοῦ ν̄ ἕνω ⟨καὶ κατὰ παραγωγὴν⟩ ἐνύω ⟨καὶ πλεονασμῷ τοῦ ῑ⟩ εἰνύω. καὶ οἱ Αἰολεῖς πλεονάζοντες τὸ ἀμετάβολον ἀποβάλλουσι τὸ ῑ, ὡς φθείρω φθέρρω.*

154) *Ἀμφιτρύων· ὁ ἥρως. παρὰ τὸ τρύος, ὅ ἐστι πόνος, οἷον Καλλίμαχος „πολὺ τρύος ἤλασεν ἔξω“* (Kallimach. Schn. Fr. an. 73). *Μεθόδιος.* Methodios

155) *Ἀμφιφῶν· εἶδος πλακοῦντος τελούμενον τῇ Ἀρτέμιδι, οἷον „ναστοὺς τροφαλίδας ἀμφιφῶντας ἰτρία“* (Fr. Com. ad. 585. Kock). *διὰ τὸ ⟨κύκλῳ⟩ φωτίζεσθαι ὑπὸ τῶν δᾴδων. ἢ διὰ τὸ πανσελήνου οὔσης πέμπεσθαι τῇ Ἑκάτῃ ⟨ἀμφιφῶντος τότε ὄντος⟩ τοῦ οὐρανοῦ. Μεθόδιος.* Methodios

152) Teil II vgl. Choirob. zu Theod. p. II 56, 13 H. 155) Vgl. Athen. XIV 645 A (aus Philochoros). Hesych. Eustath. 1165, 11 (aus Pausanias vgl. Schwabe 109, 14). Suidas.

1. *κυρίως* fehlt *B* *τοῦ νεκροῦ*] *τοὺς νεκροὺς A* 3. 4. *ἀμφισητεῖν*] *ἀμφισκιτεῖν B* 4. *τοῦ βάζειν A* 5. *πλεονάζει τὸ β̄*] so *A* ohne Breviatur, *πλ*ᵉ (= *πλεονασμῷ*) *τοῦ β̄ B* *ἄδηρος*] *ἄβδηρος AB* 6. *σίβδαι* vgl. Hesych; vielleicht *Σίδαι Σίβδαι* 6—10. *καὶ οὕτως* bis *συνετέθη* fehlt *B* 6. *μὲν*] *μ̊ A* 7. *Ζηνόβιος*] *ζ* mit übergeschriebenem *η* *A*, wie meist 8. *κεχωρισμένω A* 11. *σύγκεινται B* 11. *δέξαιτο*] *δέξηται AB* 12. nach *κλιθείη* endet *B* Gleich *καίπερ οὔσης* vgl. 41, 3 13. *κλίσιν πεποίηκε*] *κλῆσιν πεποίηται A* *ἔοικεν. ἄρ' οὖν* Plat. *γεωργία A* 14. *ἠμφισβητησάμην A* 15. *ἀνδοκείδης A* 16. *τούτω ἠμφισβήτουν A* *τε* Andok. *γε A* 17. *πάντη A* 19. *εἰνύω*] *εἴνυτο AB* 20. *φθείρρω A* 23. *Καλλίμ.*] *καὶ AB*; wohl aus *καλ̂.* *πολύτρυος B*, *πολύτροιος A* 24. *Μεθ.* fehlt *B* 25. *τελούμενος B* 26. *ναστοὺς*] *μαστοὺς AB*; verb. v. Pierson, vgl. Athen. XIV 646 E. Den Vers schreibt Hemsterhuis der Hekate des Diphilos zu 28. *οὔσης*] *ὄντος B* Ergänzt aus Athen. Kaibel *Μεθ.* fehlt *B*

Orion 7, 23 156) *Ἀμφιλύκη νύξ· λυκόφως, σκοτεινή. ἐστὶ λυγαῖον τὸ σκοτεινόν, παρὰ τὸ λύειν τὴν αὐγὴν καὶ μὴ ἐᾶν συστῆναι αὐτήν. ἐξ αὐτοῦ γίνεται λύγη, καὶ τροπῇ τοῦ γ̄ εἰς τὸ κ̄ λύκη καὶ ἀμφιλύκη. οὕτως Ὠρίων.*

157) *Ἀμφιδρόμια· τὰ δὲ ἀμφιδρόμια ἑορτή ἐστιν Ἀθήνησι συντελουμένη, καθ' ἣν ἐγκρυφίου ἄρτου ὠπτημένου ἐπὶ τῆς ἑστίας ἐπι⟨τεθέντος ..... κύκλῳ περι⟩τρέχουσι. τὸ δ' αὐτὸ ποιοῦσι καὶ μετὰ σκευῆς τὰ βρέφη περὶ τὴν ἑστίαν περιφέροντες, ἐπειδὴ κουροτρόφος ἡ θεὸς ἐπί τινων πεφήμισται. μέμνηται Πλάτων ἐν Θεαιτήτῳ „τοῦτο μὲν δὴ ὡς ἔοικεν μόγις ἐγεννήσαμεν, ὅ τι δή ποτε τυγχάνει ὄν. μετὰ δὲ τὸν τόκον τὰ ἀμφιδρόμια ὡς ἀληθῶς ἐν κύκλῳ περιθρεκτέον τῷ λόγῳ“* (p. 160 E).

158) *Ἀμφικύπελλον· ποτήριον. παρὰ τὸ κυφόν κύφελον καὶ κύπελον καὶ μετὰ τῆς ἀμφί προθέσεως ἀμφικύπελον καὶ πλεονασμῷ ἑτέρου λ̄ ⟨ἀμφικύπελλον⟩ τὸ ἐκ περιφερείας κυφόν. ὅθεν καὶ τὰ πρὸς ἡμᾶς κάτω νεύοντα νέφη κύφελλα λέγονται. ἢ παρὰ τὸ χέω χύπελλον, τουτέστιν ὅπου ὁ πηλὸς ἤγουν ὁ οἶνος χεῖται. Ἀρίσταρχος δέ φησι σημαίνειν τὴν λέξιν τὴν διὰ τῶν ὤτων ἑκατέρωθεν περιφέρειαν· ἐφ' ὧν καὶ ῥητῶς ἀποδιδοὺς λέγει „ἤτοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε χρύσεον ἄμφωτον“* (Od. 22, 10).

Orion 159) *Ἀμφικτύονες· οἱ περιοικοῦντες· τὸ γὰρ κτίσαι ἐπὶ τοῦ οἰκίσαι ἔλαβον οἱ παλαιοί, ὥς φησιν Ὅμηρος „ἐϋκτίμενον πτολίεθρον“* (Il. 2, 501) *καὶ „ἐϋκτιμένην κατ' ἀλωήν“* (Od. 24, 336). *ἐστὶν οὖν οἰκίζω οἰκίσω ⟨οἰκιῶ⟩ οἰκιών καὶ οἰκτιών, κατὰ πλεονασμὸν τοῦ τ̄, καὶ μετὰ τῆς ἀμφί προθέσεως ἀμφικτιών, καὶ τροπῇ τοῦ ῑ εἰς ῡ ἀμφικτύων, ὡς τριφάλεια τρυφάλεια. Ὠρίων.*

Choiroboskos, Orthogr. 176, 24 160) *Ἀμφιειμένοι· σημαίνει δὲ τὸ ἐνδεδυμένοι, οἷον „ὤ μοι ἀναιδείην ἐπιειμένε“* (Il. 1, 149). *γέγονε δὲ παρὰ τὸ ἕω, τὸ σημαῖνον τὸ*

---

156) Vgl. Schol. Ven. *A.* Il. 7, 433. 157) Vgl. Schol. Plat. 160 E. Hesych. Harpokr. 15, 6. Suidas (Bekker, Anecd. Gr. 207, 13). Schol. Aristoph. Lysistr. 757. Aus Methodios oder dem Rhetorikon. 158) Vgl. Epim. Cramer, Anecd. Par. III 368, 9 (Anecd. Ox. I 238, 23). Eustath. 158, 41 ff. Apoll. Soph. 25, 18. Hesych. Athen. XI 783 B (Eustath. 1776, 30). 160) Vgl. Anecd. Paris. III 336, 12 (= An. Ox. I 156, 20).

---

3. *γίνεται*] ɣ (= *γάρ*) *B* 4. *οὕτως Ὠρ.* fehlt *B*, *ὠρίων A* 5. *τὰ*] *τὸ A* *Ἀθήνησι*] *ἐν ἀθήνησι AB* 6. *ἐγκρυφίου*] *ἐντρυφίου B* *ὀπτωμένου B*, *ὀπτομένου A* 6. 7. *ἐπιτρέχουσι* ohne Zeichen der Lücke *AB*, *ἐπὶ ⟨τοῖς νεογνοῖς παιδίοις⟩ τὴν Ἑστίαν περιτρ.* Kaibel 7. *σκευῆς εἰς τὰ AB*; entstanden aus *σκευεῖς* 8. *περὶ*] *παρὰ B*; wie Harp. Codd. *ἐπί τινων*] *ὑπό τινων* Sturz 9. 10. *τοῦτο* bis *ὄν* fehlt *B* *μόλις ποτὲ* Plat. 14. *προθέσεως* fehlt *B* 15. *ἑτέρου*] *τοῦ ἑτέρου A* 16. *κύφελλα*] *κυφ**** B* (verloschen) *λέγονται*] *λ*ᵋ/ *A*, *λέγουσιν B* 17. *χύπελον B* nach *χεῖται* endet *B* 18. *σημαίνει A* 19. *περιφέρειον A*, *περιφερομένην?* *ἤτοι*] *εἴ τοι A* 19. 20. *ἄλησον A* *χρύσειον A* 22. *οἰκίσαι*] *οἰκῆσαι A* *φησιν*] *φασὶν A* 24. *οὖν* fehlt *B* 26. *Ὠρ.* fehlt *B*, *φ*ᴮ *A* 28. *ἐπιείμεναι A*, *ἐπιειμε** B* *τῷ ἕω A*

ἐνδύομαι, ὁ μέλλων ἕσω, ὁ ⟨ἐνεργητικὸς⟩ παρακείμενος εἶκα, ὁ παθητικὸς εἷμαι καὶ ἡ μετοχὴ εἱμένος οἷον „εἱμένος ὤμοιїν νεφέλην“ (Il. 15, 308), *καὶ ἐν συνθέσει ἀμφιειμένοι. οὕτω Γεώργιος ὁ Χοιροβοσκός.*

161) *Ἀμφίβληστρον· σημαίνει δὲ τὸ δίκτυον. ‖ Ὠρίων μὲν ἐτυμολογεῖ παρὰ τὸ βάλλω βλῶ βλήσω βλῆτρον καὶ μετὰ τῆς ἀμφί προθέσεως καὶ πλεονασμῷ τοῦ σ̄ ἀμφίβληστρον. ‖ Ἡσίοδος δὲ χρᾶται αὐτῷ εἰς τὴν Ἀσπίδα οὕτως· „αὐτὰρ ἐπ' ἀκταῖς ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος, εἶχε δὲ χειρὶ ἰχθύσιν ἀμφίβληστρον ἀπορρίψοντι ἐοικώς“.*

*Rhetorikon Orion 175, 2 — Hesiod, Schild 213—215

162) *Ἀμφιτρίτη· σημαίνει δὲ τὴν θάλασσαν. ὤφειλε δὲ ὅσον ἐκ τῆς ἐτυμολογίας, ὡς λέγει ὁ Χοιροβοσκὸς καὶ Ὠρίων, διὰ τῆς ε̄ῑ διφθόγγου γράφεσθαι. παρὰ γὰρ τὸ τρεῖν λέγεται Ἀμφιτρείτη ἡ ἀμφοτέρωθεν φόβον ἡμῖν ἐμποιοῦσα. ἀλλὰ τῷ χαρακτῆρι τῶν εἰς τ̄η̄ θηλυκῶν διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ εἰς τ̄η̄ λήγοντα θηλυκὰ βαρύτονα ὑπὲρ δύο συλλαβὰς ἑνὶ φωνήεντι θέλουσι παραλήγειν, οἷον Ἀρέτη μελέτη Ἀφροδίτη· οὕτως οὖν καὶ Ἀμφιτρίτη. πρόσκειται βαρύτονα διὰ τὸ τελευτή ὀξύτονον, πρόσκειται ὑπὲρ δύο συλλαβάς διὰ τὸ χαίτη. ‖ ἐχρήσατο δὲ τὴν λέξιν Διονύσιος ὁ Περιηγητὴς οὕτως, οἷον „ὕψοθι μορμύρων ἕτερος πόρος Ἀμφιτρίτης, οὖρον δ' ἐς Τένεδον τεκμαίρεται ἐσχατόωσαν“. τεκμαίρεται σημαίνει τὸ τελειοῦται.*

Choiroboskos, Orthogr. 173,16 — Orion 18, 9 — Dionys. Perieget. 134. 135.

163) *Ἀμφιβρότη· βροτὸς . . . . . . καὶ ἀμφιβρότη ἡ ἑκατέρωθεν τὸν βροτὸν σκέπουσα ἀσπίς.*

Schol. Il. 2,389

164) *Ἀμφί· πρόθεσις· ἰστέον ὅτι ἡ ἀμφί πρόθεσις λέγεται καὶ ἀμπί παρὰ τοῖς Αἰολεῦσιν, οἷον ἀμπεχόνη, ἀμπίσχουσα. ‖ ἀμπεχόνη*

*Epim. Hom.(?) — *Rhetor.(Phot.)

---

161) Teil I vgl. Suid. Teil III aus eigner Lektüre des Hesiod. 162) Entweder Choirob. aus Oros oder Orion vom Verf. des Etym. eingesetzt. Vgl. Didymos Cram. Anecd. Par. IV 179, 24. Teil II ist aus eigner Lektüre des Dionysios zugefügt. 163) Vgl. Schol. Did. Apoll. Soph. 28, 7. Eustath. 243, 41. 164) Glosse *Βλαύτη* fehlt. Teil I aus Homerepim. vgl. etwa Cram. An. Ox. I 66, 23—26; Eustath. 83, 1. 641, 47. 1560, 44; Teil II aus dem Rhetor. vgl. Suidas *Ἀμπεχόνη*; Bekk. An. 388, 3. 4. Hesych. Teil III Zusätze des Verfassers.

---

1. *ἐνεργητικὸς*] ergänzt aus Choirob. *εἶκα* fehlt *B* 2. *μετοχὴ ἥμενος A* *ὁμοίειν A* 3. *οὕτω*] *οὐ A* *Γεώργιος* fehlt *B* 5. *σημ. δὲ* fehlt *B* *Ὠρίων*] ausgeschrieben *AB* 5. 6. *ἐτυμολογεῖ*] *ἐτυμολο A*, *ἐτυμ B* 6. *βλῆστρον B* 7. *πλεονασμῷ* verloschen *B* *τοῦ σ̄*] *τοῦ γ̄ A* nach *ἀμφίβληστρον* endet *B* 9. *εἶχεν A* *χερσὶν* Hes. *χειρὶ καὶ ἰχθεύσιν ἀμφίβληστον ἀπορρίψαντι A* 11. *σημαίνει δὲ καὶ B*; vgl. Choirob. 12. *Ὠρίων* ausgeschrieben *AB* 14. *φόβον ἡμᾶς A*, *ἡμῖν φόβον B* 15. *γράφονται A* 16. *ὑπὲρ μίαν συλλαβὴν AB* *θέλουσι παραλήγεσθαι A*, *θε παραλη B* 17. *Ἀρέτη*] *ἐρέτη A*, *ἑτέρη B* 18. *τελευτή ὀξύτονον*] *τελεστὴ ὀξύτης A* (*ὀξυ B*) 19. nach *χαίτη* endet *B* 20. *ὕψωθι A* *δὲ στένεδον A* 21. *ἐσχατώωσαιν A* 22. ohne Zeichen der Lücke *AB*

δὲ λέγεται ἀντὶ τοῦ περιβόλαιον, ἱμάτιον, ἤγουν πάλλιον. ‖ *ἡ χρῆσις εἰς τὸ Βλαύτην. καὶ „ἦν γὰρ αὐτῇ ἱμάτια ⟨δύο⟩ ὡς καὶ περιζωμάτια καὶ ἀμπεχόνια δύο καὶ χιτῶνες“.*

*Epim. Hom. (?) 165) *Ἀμφηρεφέα· τὴν ἀμφοτέρωθεν ἐσκεπασμένην τῶν βελῶν θήκην. ἐστὶ γὰρ θηλυκὸν αἰτιατικῆς πτώσεως· παρὰ τὸ ἐρέφω, τὸ σημαῖνον τὸ σκεπάζω καὶ τὴν ἀμφί.*

Zenobios 166) *Ἀμφιῶ· εἴρηται εἰς τὸ Κρεμῶ.*

Zenobios 167) *Ἀμφιέννυμαι, ἠμφιεννύμην. μήποτε δὲ κἀνταῦθα περιττή ἐστιν ἡ πρόθεσις; τί γὰρ διαφέρει τὸ ἕννυμαι τοῦ ἀμφιέννυμαι ⟨ὡς ἐν τῷ „ἀμφιέσασθε χιτῶνας“⟩* (Od. 23, 131) *καὶ „αὐτὴ δὲ φᾶρος μέγα ἕννυτο νύμφη“* (Od. 10, 543); *τί γὰρ πλέον τὸ ἀμφιέσασθαι χιτῶνα; οὕτω Ζηνόβιος.*

*Schol. Apollon. 1, 883 168) *Ἀμφικινυρόμεναι· „ἐνδυκὲς ἀνέρας ἀμφικινυρόμεναι προχέοντο, χερσί τε καὶ μύθοισιν ἐδεικανόωντο ἕκαστον“. Ἀπολλώνιος. κινυρόμεναι· μέλπουσαι, ᾄδουσαι· ἀπὸ τῆς κινύρας.*

Choiroboskos, Orthogr. 168, 6 169) *Ἀμφίων· ἔστιν ὄνομα κύριον· ἀπὸ τῆς ἀμφί προθέσεως καὶ τῆς ἰών μετοχῆς γέγονεν ἀμφιϊών, καὶ κατὰ κρᾶσιν τῶν δύο $\overline{\iota\iota}$ εἰς ⟨ἓν⟩ ῑ μακρὸν Ἀμφίων βαρυτόνως. βαρυτόνως δὲ γέγονεν, ἐπειδὴ αἱ μετοχαὶ συντιθέμεναι, ἐὰν μὲν φυλάξωσι τὸ αὐτὸ μέρος τοῦ λόγου, καὶ τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον βάς, ἀναβάς, στάς, ἀναστάς, ἐὰν δὲ ἐναλλάξωσι τὸ [αὐτὸ] μέρος τοῦ λόγου, καὶ τὸν τόνον ἐναλλάσσουσιν οἷον βάς, ἄβας, τλάς, Ἄτλας, φάς, Περίφας. ἐπεὶ οὖν ἡ ἰών μετοχὴ ἐν τῷ Ἀμφίων ἐνήλλαξε τὸ μέρος τοῦ λόγου, τούτου χάριν καὶ τὸν τόνον ἐνήλλαξεν. — δοκεῖ δὲ καὶ παράλογος εἶναι ἡ σύνθεσις τοῦ Ἀμφίων, ἐπειδὴ αἱ εἰς φωνῆεν λήγουσαι προθέσεις δέχονται καὶ τὸν λόγον τῆς ἐκθλίψεως καὶ τὸν λόγον τῆς κράσεως· καὶ αἱ δεχόμεναι τὸν λόγον τῆς ἐκθλίψεως οὐ δέχονται τὸν λόγον τῆς κράσεως, οἷον παραέστη ⟨παρέστη οἷον⟩ „παρέστητέ μοι“, ἀναέρχομαι ἀνέρχομαι· αἱ δὲ δεχόμεναι τὸν λόγον τῆς κράσεως οὐ δέχον-*

165) Vgl. Cram. An. Paris. III 319, 27 u. Schol. Did. Il. 1, 45. Apoll. Soph. 26, 30 166) Zenobios. Vgl. *Κρεμόω·* = Etym. Magn. 536, 35. Mit Quellenangabe *οὕτω Ζηνόβιος.* 168) Anders Schol. Laur. p. 353, 12 K.

1. *ἀντὶ τοῦ περίβο^ ἱματίου* B, *ἀντὶ περιβολῆς ἡματίου* A *πάλιον* AB — B endet *ἡ χρ.*] *ἡ* (übergeschr. χ) A 2. *βλαυτὴν* A vielleicht *Βλαυτίον* *περιζωμάτια*] *παραζωμάτε* A 3. *χιτῶνες*] *χιτών* A 4. *Ἀμφιρεφέαν* A, *Ἀμφιρεφαῖαν* B *ἀμφοτέρωθεν*] *ἑκατέρωθεν* B 5. *παρὰ τὸ*] *ἀπὸ τοῦ* AB *ἐρέφω*] *ῥέφω* A 6. *ἀμφί*] *ἀμφήν* A 7. *Ἀμφιῶ*] Glosse in B nach 167 8. *κἀνταῦθα*] *κ᾽ ἂν ταῦθαν* A 9. *τῶι ἀμφιέννυμαι* B, *τοῦ ἀμφιένν.* fehlt A 11. *τὸ*] *τοῦ* AB 12. *οὕτω Ζην.* fehlt B 13. *ἐνδυκέως* codd. Apoll. L. u. G. *ἀμφικινυρόμεναι*] so (in einem Wort) Cod. L Apoll. und AB *ἀμφικινυρόμενοι* A 14. *ἐδεικανόοντο* AB 21. 22. *καὶ* bis *ἐναλλάσσουσιν* fehlt A 24—81, 9 *δοκεῖ δὲ* bis *οὐκ ὤφειλε δέξασθαι τὸν λόγον τῆς κράσεως* fehlt B *παραλόγως* A 27. *αἱ δεχόμεναι*] *ἐδεχόμεναι* A 28. *προέστη προύστητέ μου* A

ται τὸν λόγον τῆς ἐκθλίψεως, οἷον προέστη προὔστη, περιΐαχε, περίαχε, οἷον „περίαχε πόντος ἀπείρων“ (Hesiod Th. 678). ὅθεν σημειούμεθα τὴν διά πρόθεσιν· αὕτη γὰρ δεχομένη τὸν λόγον τῆς ἐκθλίψεως δέχεται καὶ τὸν λόγον τῆς κράσεως, ὡς ἐπὶ τοῦ διάκονος· ἀπὸ γὰρ τοῦ ἐνέγκω τοῦ σημαίνοντος τὸ φέρω γέγονε διαένοκος καὶ καθ' ὑπερβιβασμὸν διαέκονος καὶ κατὰ κρᾶσιν τοῦ ᾰε̆ εἰς ᾱ μακρὸν διάκονος. εἰ ἄρα οὖν ἡ ἀμφί ⟨πρόθεσις⟩ δέχεται τὸν λόγον τῆς ἐκθλίψεως, οἷον ἀμφὶ ἀγαθόν, ⟨ἀμφ' ἀγαθόν, οἷον⟩ „ἀμφ' ἀγαθὸν θεράποντα“ (Il. 16, 165), οὐκ ὤφειλε δέξασθαι τὸν λόγον τῆς κράσεως. λέγει δὲ Εὐριπίδης ὁ τραγικὸς (Fr. 182 N²) ἐτυμολογῶν τὸ Ἀμφίων, ὅτι Ἀμφίων ἐκλήθη παρὰ τὸ ἀμφ' ὁδὸν ἤγουν περὶ τὴν ὁδὸν γεννηθῆναι. ὁ δὲ Ἀριστοφάνης (Fr. 327 Kock) κωμικευόμενος λέγει, ὅτι οὐκοῦν Ἄμφοδος ὤφειλεν κληθῆναι; ἄλλοι δὲ λέγουσιν ὅτι οὐ γέγονεν ἀπὸ τῆς ἀμφί προθέσεως καὶ τῆς ἰών μετοχῆς τὸ Ἀμφίων, ἀλλὰ ἀπὸ τῆς ἀμφί προθέσεως γέγονεν κατὰ παραγωγὴν καὶ ἐξέτεινε τὸ ῐ ποιητικῶς, ὥσπερ τὸ Ἰξίων καὶ Δολίων. οὕτω Χοιροβοσκὸς εἰς τὴν Ὀρθογραφίαν.

170) Ἄμφιος· λέγουσί τινες ὅτι ὥσπερ ἀπὸ τοῦ Ἀκταίων γίνεται Choiroboskos, Orthogr. 168,14
Ἀκταῖος καὶ ἀπὸ τοῦ πλείων πλεῖος καὶ ἀπὸ τοῦ ῥάων ῥᾷος καὶ ἀπὸ τοῦ ἀρείων ἀρεῖος, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ Ἀμφίων γίνεται Ἄμφιος· καὶ ἐπειδὴ τὸ Ἀμφίων διὰ τοῦ ῐ γράφεται, τούτου χάριν καὶ τὸ Ἄμφιος διὰ τοῦ ῐ. οἷστισιν ἀντίκειται ἡ σημασία. τὰ γὰρ ἀπὸ τῶν εἰς ω̄ν̄ κυρίων εἰς ο̄σ̄ γινόμενα ὀνόματα κατὰ τοῦ αὐτοῦ σημαινομένου λαμβάνονται, οἷον τὸ Ἀκταῖος ἀπὸ τοῦ Ἀκταίων ἐγένετο καὶ τὴν σημασίαν τοῦ Ἀκταίων ἐφύλαξεν· ὁ αὐτὸς γὰρ λέγεται καὶ Ἀκταίων καὶ Ἀκταῖος. εἰ ἄρα οὖν τὸ Ἄμφιος ἀπὸ τοῦ Ἀμφίων ἐγένετο, ὤφειλον καὶ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου τὰ δύο ὀνόματα ληφθῆναι. ἀλλὰ μὴν οὐ λαμβάνονται ἐπὶ τοῦ αὐτοῦ σημαινομένου τὰ δύο ὀνόματα· Ἀμφίων μὲν γάρ ἐστιν ὁ ἀδελφὸς τοῦ Ζήθου ὁ κτίσας τὰς Θήβας, ὁ υἱὸς

---

170) Vgl. Gl. Ἄνιος = Et. m. 110, 41 und Ὕπιος (Gl. fehlt in A): Ὕπιος· παρὰ τὴν ὑπό πρόθεσιν γίνεται Ὕπιος, ὡς παρὰ τὴν ἀνά Ἄνιος, οἷον Ὕπιος Ζεύς· ἔστι δὲ καὶ ὄνομα ποταμοῦ, ὡς παρὰ Ἀπολλωνίῳ „παρ' εἱαμεναῖς Ὑπίοιο.“ Mit dem eingefügten Apollonios-Scholion vgl. p. 431, 4—6 Keil.

---

4. διάκονος] δικονος A 5. ἐνέγκω] ἐνέκω A φέρω] φέγω A διαένοκος] διαένεκος A 6. διαέκονος] διέκονος A 9. ὤφειλε] ὤφελεν A 10. [λ^ε ὁ εὐρι^π ὁ τρα]γικὸς B; die eingeklammerten Worte verloschen ἐτυμολογῶν] ἐτυμο^λ B, ἐτυμολόγος A 11. ὅτι ὁ Ἀμφίων A παρὰ τὸ π[αρὰ τὴν ἄμφοδον] B, παρὰ τὸ παρὰ τὴν ἄμφοδον A verb. von Sylb. περὶ] παρὰ B 12. Ἀριστοφάνης] ἀρίσταρχος A λέγει] λ^ε/ B, λέγεται A 13. ἄμφοδον B 14. προθ. fehlt A 16. nach [Δολίων] endet B 18. ὅτι fehlt A 19. ῥάων] ῥᾶον A 21. καὶ fehlt A τὸ] τὰ A 23. 24. λαμβάνονται] λαμβάνεται B gegen den Sprachgebrauch des Choir. 26. ὤφειλεν B, ὤφελον A 28. λαμβάνονται] λ^α/ B, λαμβάνεται A

τοῦ Διὸς καὶ τῆς Ἀντιόπης, Ἄμφιος δὲ ὁ τοῦ Σελάγου υἱός. ὥστε δῆλον, ὅτι οὐ γέγονεν ἀπὸ τοῦ Ἀμφίων τὸ Ἄμφιος. ἀλλ' ἔστιν εἰπεῖν, ὅτι ὥσπερ παρὰ τὴν ὑπό πρόθεσιν γίνεται Ὕπιος, οἷον Ὕπιος Ζεύς — ἔστι δὲ καὶ ὄνομα ποταμοῦ, ὡς παρὰ Ἀπολλωνίῳ, οἷον
*Schol. Apollon. 2, 795 „παρ' εἰαμεναῖς Ὑπίοιο". ‖ εἰαμεναὶ δέ εἰσιν οἱ δίυγροι τόποι ‖ — οὕτως καὶ παρὰ τὴν ἀμφί πρόθεσιν γέγονεν Ἄμφιος, ἐκτάσεως γενομένης τοῦ ῐ ποιητικῆς. οὕτως ὁ Χοιροβοσκός.

*Schol. Apollon. 4, 1767 171) Ἀμφιφορίτης· ὅτι ἐν Αἰγίνῃ ἔδραμον περὶ τὴν Ἀσωπίδα κρήνην ὑδρεύσασθαι. ὅθεν καὶ ⟨νῦν⟩ ἀγὼν ἄγεται Ἀμφιφορίτης λεγόμενος παρὰ τοῖς Αἰγινήταις, ἐν ᾧ οἱ ἐκεῖνον ἀγωνιζόμενοι τοὺς κεράμους ὕδατος πεπληρωμένους κατὰ τῶν ὤμων ἀναλαβόντες τρέχουσι περὶ τῆς νίκης φιλονεικοῦντες κατὰ μίμησιν τῶν ἡρώων.

*Schol. Il. 3, 143 172) Ἀμφίπολος· θεραπαινίς, δουλίς· παρὰ τὴν ἀμφί πρόθεσιν καὶ τὸ πολῶ.

*Schol. Il. 5, 743 173) Ἀμφίφαλον· ἀμφοτέρωθεν φάλους ἔχουσαν περὶ ἑαυτήν· φάλοι δέ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι χάριν κόσμου τιθέμενοι.

Orion 174) Ἀμφουδίς· περὶ τὸ ἔδαφος· ἔστι ῥῆμα οὐδίζω, ὁ μέλλων οὐδίσω, ἀποβολῇ οὖν οὐδίς, καὶ ἐν συνθέσει ἀμφουδίς· οὕτως Ὠρίων.

*Orion 31, 12 175) Ἀμφορεύς· τὸ ἑκατέρωθεν ⟨φερόμενον⟩ δίωτον σταμνίον, ὅ φησιν Θεόκριτος „ἀμφῶες νεοτευχές" (Id. 1, 28). ἢ τὸ ἑκατέρωθεν αἰρόμενον ἀμφοαιρές καὶ ἀμφορεύς, κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ ῡ.

Methodios 176) Ἀμφῶες· τὸ δύο ὦτα ἔχον. παρὰ τὸ οὖας, ἐλλείψει τοῦ ῡ ὄας, καὶ ὡς οὖδας οὖδος, γῆρας γῆρος, οὕτως ὄας ὄος ⟨καὶ ἐκτάσει τοῦ ŏ εἰς ω̄ ὦος, καὶ⟩ ὡς γένος εὐγενής, οὕτως ⟨ὦος⟩ ἀμφώης καὶ ἀμφῶες. Μεθόδιος.

Methodios 177) Ἀμφωτίδες· χαλκᾶ τινα, ἅπερ οἱ παλαισταὶ τοῖς ὠσὶ περιε-

171) Vgl. Fr. Berckmann, De schol. in Apoll. Arg. Etym. magn. fonte p. 32. Vgl. Gl. 113. 172) Vgl. Schol. Did. und die auf dieselbe Stelle bezüglichen Epim. An. Ox. I 32, 4. Apoll. Soph. 27, 1. 173) Vgl. Schol. Ven. *A*. Eustath. 601, 8. 174) Vgl. Schol. Od. 17, 237. (Eustath. 1818, 59. Apoll. Soph. 29, 30. Hesych.) 175) Vgl. Eustath. 1445, 45. 176) Meth.; vielleicht aus Schol. Theokr. 1, 28; ganz ähnlich ist Glosse *Οὔατος* aus Choiroboskos. 177) Vgl. Eustath. 1324, 38 aus Pausanias (Schwabe 110, 5). Hesych.

1. *ὁ τοῦ*] *ὁ τῆς A* 4. *παρὰ τῷ Ἀπ. A* *οἷον* fehlt *B* 5. *παρ'* (*ὑφ'* Apoll.) *εἰαμέναιες A*, *παρειαμενὲς B* 6. *ἀμφὶ*] *ἀμφὴν A* 7. *ποιητικῆς*] *ποιητι*ʃ *AB* 8. *παρὰ τῆς . . ὑδρευσάμενοι?* 10. *ἐκεῖσε AB* 11. *κατὰ τ. ὤ. ἀναλαμβάνοντες B*, *ἀναλαβόντες κατὰ τ. ὤ. A* 13. *ἀμφὶ*] *ἀμφὴν A* 14. *τοῦ πολῶ AB* 15. *φάλους*] *ὀμφαλοὺς A* *ἔχουσαν*] *ἔχον B* *περὶ ἑαυτήν* fehlt *B* 16. *εἰσίν* fehlt *B* 18. *Ἀμφοῦδις B*, *Ἀμφούδις A*; ebenso später *περὶ*] *παρὰ AB*; verb. v. Sturz. 19. *ὠρίων B*, *ὠ*ᵖ *A* 20. *φερόμενον*] ergänzt aus Orion und Eustath. 20. *ὅ*] *ὡς AB* *ἀμφορεὺς νεοτευχές AB* (*νεοτευχής B*) 22. *αἰρόμενον ἀμφοαιρὲς*] *ἐρώμενον ἀμφοερὲς A* *καὶ* nach *ἀμφορεύς A* 23. *τὸ δύο*] *τὰ δύο AB* *τοῦ ῡ* fehlt *B* 26. *ἀ[μφ]ῶες B* *Μεθ.* fehlt *B* 27. [*τοῖς ὠσὶ*] *B*

τίθεσαν· περιωτίδες οὖν εἰσιν καὶ ἀμφωτίδες τῆς ἀμφί τὴν περί σημαινούσης. Μεθόδιος.

178) *Ἀμ φόνον· ἰστέον ὅτι τὸ ἀμ φόνον κατὰ συγκοπὴν οὐκ ἐγένετο, ἐπειδὴ αἱ συγκοπαὶ ἐν μιᾷ λέξει γίνονται, οἷον πατέρος πατρός, ἀναμεῖναι ἀμμεῖναι· τὸ δὲ ἀμ φόνον δύο μέρη λόγου εἰσίν· ἀνὰ φόνον γάρ. ἀλλ' οὔτε δὲ κατ' ἔκθλιψιν ἐγένετο, ἐπειδὴ αἱ ἐκθλίψεις οὐδέποτε συμφώνου γίνονται ἀλλὰ φωνήεντος ἐπιφερομένου, οἷον κατὰ Ἀπολλωνίου, κατ' Ἀπολλωνίου, βούλομαι ἐγώ, „βούλομ' ἐγώ"* (Il. 1, 107). *κρεῖττον δέ ἐστιν εἰπεῖν, ὅτι τὸ τοιοῦτον σχῆμα εἶδός ἐστι συγκοπῆς. οὕτως ὁ Χοιροβοσκὸς εἰς τὴν Ποσότητα.* Choiroboskos, *περὶ ποσότητος*

179) *Ἄμφω· σημαίνει δὲ τὸ ἀμφοτέρους. „ἄμφω ὁμῶς θυμῷ φιλέουσα"* (Il. 1, 209). *ἀπὸ τοῦ δευτέρου τὸ πρῶτον διδάξω. τί ἐστιν ἀπὸ τοῦ δευτέρου τὸ πρῶτον; ἐπειδὴ τὸ ἄμφω θέμα ἐστὶν ὡς τὸ δύο. διαφέρει δὲ τὸ ἄμφω τοῦ δύο, ὅτι τὸ μὲν δύο πρώτην γνῶσιν τίθησιν τοῦ ἀριθμοῦ, τὸ δὲ ἄμφω ἀναφορὰν ὑπισχνεῖται δυάδος. — τὸ γὰρ „ἀμφότεροι μέμασαν πολεμίζειν"* (Il. 7, 3) *κατηγορεῖ τῶν ἐγνωσμένων διὰ τῶν προκειμένων λόγων. λέγει δὲ Ἕκτορα καὶ Ἀλέξανδρον. — ὥστε ὅπερ ἐστὶν οἱ δύο, τοῦτό ἐστιν ἄμφω. διὰ τοῦτο τὸ δύο λαμβάνει ἄρθρου παράθεσιν, οἱ δύο, τῶν δύο, τὸ δὲ ἄμφω οὐ λαμβάνει· οὐδὲ γὰρ λέγομεν οἱ ἄμφω· ἤδη γὰρ τὴν ἀναφορὰν ἔχει. πρῶτον οὖν ἐστι παρὰ τὸ ἄμφω ἀμφότερος, οἷον „ἀμφότεροι μέμασαν"* (Il. 7, 3) *„ἀμφοτέροισι δ' ἀρήγετε"* (Il. 20, 25)*· εἶτα δυϊκὸν ἀμφοτέρω καὶ κατὰ συγκοπὴν ἄμφω, κατ' ἔκτασιν τοῦ ο̄ εἰς τὸ ω̄. διὰ τοῦτο οὖν εἶπεν, ὅτι ἀπὸ τοῦ δευτέρου τὸ πρῶτον. ἀμφοτέρω γὰρ εἶτα ἄμφω κατὰ συγκοπὴν καὶ ἐκτάσει. οὕτως Ἡρῳδιανὸς ἐν τῷ περὶ παθῶν.* Herodian, *περὶ παθῶν*

---

179) Ähnlich ist Gl. *Ταυτόν*. Die drei Elemente sind, da Autor III hierfür nie *συγκοπή* gebraucht und I gegen II verteidigt, etwa so zu schreiben, dafs I 11 und 12, *Ἄμφω* bis *διδάξω* und 25 *ἀμφοτέρω* bis *ἐκτάσει* umfafst, II an den ersten Satz anschliefst 12—16, *τί ἐστιν* bis *δυάδος* und 18—21 *ὥστε* bis *ἔχει*, III hiergegen etwa mit den Worten *πρῶτον οὖν ἐστιν ἀμφότερος εἶτα δυϊκὸν ἀμφοτέρω καὶ κατ' ἀποκοπὴν ἄμφω* polemisiert und *διὰ τοῦτο εἶπεν κτλ.* hinzufügt. Ilias 7, 3 mufs von I oder II *ἐπὶ δύο πληθῶν* gedeutet sein (vgl. Eustath. 1111, 51). Hiergegen wendet sich 16—18 *τὸ* bis *Ἀλέξανδρον*.

---

1. *τῆς*] *τοῖς A* 2. *σημαίνουσαν A*, [*περὶ σημ*] *B* *Μεθ*. fehlt *B* 5. 6. *ἀνὰ φόνον*] *ἀνάφωνος A* 6. *ἀλλ' οὐδὲ* Kaibel *κατ' ἔκθλιψιν*] *κατὰ θλίψιν B* *ἐκθλίψεις*] *ἐκλήψεις A* 8. *κατ' ἀπολλωνίου* fehlt *A* 10. *εἰς τὴν Ποσ.* fehlt *B* 11. *δὲ* fehlt *B* *ἄμφω*] *ἀμφ' B* 12. *φιλέουσα*] *φι^ AB* 13. *τί γὰρ ἀπὸ B*; vielleicht richtig nach *πρῶτον A*: *διδάξω τί ἐστιν ἀπὸ τοῦ β' τὸ α'* 14. *μὲν δύο*] *μὲν β' A* 15. [*τίθησιν*] *B* 16.—18. *τὸ γὰρ* bis *Ἀλέξανδρον* fehlt *B*, im Et. m. am Ende, im Archet. am Rand 16. *μέμασαν*] *μέμαϲ A* 17. *λόγων. λέγει*] *λ°. λ' A* 18. *τοῦτό ἐστιν*] *τουτέστιν B* 19. *τῶν δύο τῶν δὲ A* 22. *μέμασαν*] *μέμασι B* *ἀμφοτέροισι δ' ἀρ.* fehlt *B* *ἀρήγετε*] *ἀρήγεται A* 34. *εἶπεν*] *εἶπον A* [*πρῶτον*] *B*; ausgeschrieben auch *A*; *B* fügt *θέλει* hinzu. 25. *ἀμφοτέρω*] *ἀμφότερα AB* 25. 26. *οὕτως* bis *παθῶν* fehlt *B*

*Orion 180) *Ἀμφοτέρωθεν·* τὰ εἰς θεν ἐπιρρήματα ἀπὸ ὀνομάτων γινόμενα διὰ τοῦ ο̄ μικροῦ γράφονται, οἷον κύκλος κυκλόθεν, Ἰλιόθεν Λεσβόθεν, πλὴν τοῦ ἀμφότερος ἀμφοτέρωθεν, ἑκάτερος ἑκατέρωθεν, ἕτερος ἑτέρωθεν.

*Schol. Il. 17, 54 181) *Ἀναβέβροχεν·* ἀναπέπωκεν. ἐὰν δὲ ἀναβέβρυχεν, ⟨παρὰ⟩ τὸ ἀναβρύει, ὅ ἐστιν ἀναπηδᾷ καὶ ἀναβάλλεται μετὰ ψόφου.

Ῥητορικόν 182) *Ἀμωσγέπως·* ὁπωσδήποτε, ἑνί γέ τινι, καθ' ὅντινα οὖν
Orion 123, 21 τρόπον. ἔστι δὲ ῥητορικὴ ἡ λέξις. ‖ ἔστιν οὖν ὄνομα ἀμός ἰσοδυναμοῦν τῷ τὶς Δωρικόν· [ἀπὸ δὲ τοῦ ἀμός γίνεται ἀμόθεν ἐπίρρημα,] ὥς φησιν Ὅμηρος ἐν Ὀδυσσείᾳ „τῶν ἀμόθεν γε θεά, θυγάτερ Διός“ (1, 10), ἀντὶ τοῦ ἀπό τινος μέρους. καὶ ὥσπερ ἀπὸ τοῦ καλός γίνεται ἐπίρρημα καλῶς, οὕτω καὶ ἀπὸ τοῦ ἀμός γίνεται ἐπίρρημα ἀμῶς, καὶ ἐν συνθέσει ἀμωσγέπως. καὶ ὥσπερ ἀπὸ τοῦ καλός γίνεται ἐπίρρημα καλά, οὕτως καὶ ἀπὸ τοῦ οὐδαμός οὐδαμά ἀντὶ τοῦ οὐδαμῶς. οὕτως Ὠρίων.

Orion 183) *Ἄμωμος·* παρὰ τὸ μῶμος [καὶ] ἄμωμος. οὕτως Ὠρίων.

Dafs in der Reihenfolge der einzelnen Quellen eine gewisse Regelmäfsigkeit herrscht, erkennt der Leser leicht. Sie ist nicht künstlich hergestellt und darum nicht ängstlich gewahrt. Gleichartiges ist, wo es dem Verfasser zum Bewufstsein kam, vereinigt.

---

180) Vgl. Apollonios De adv. 188, 10 Schn. Theognost. 157, 1 ff. 181) Vgl. Schol. Did. Eustath. 1095, 7. Apoll. Soph. 32, 33. Hesych. 182) Teil I vgl. Bekk., An. Gr. 389, 28 Suidas (Hesych). Teil II stammt aus Orions früher vollständigerer Glosse *Οὐδαμῶς* (123, 21 aus Apollonios, De adverb. 151, 17 Schn.), vgl. Etym. Gen.: *Οὐδαμῶς· ἐπίρρημα μεσότητος. ἔστι δὲ ὄνομα ἀμός ἰσοδυναμοῦν τῷ (τὸ AB) τὶς Δωρικόν, ὡς Ὅμηρος „τῶν ἀμόθεν γε θεά“ ἀντὶ τοῦ ἀπό τινος μέρους. ἐξ οὗ γέγονεν ἐν συνθέσει οὐδαμῶς ἐπιρρηματικῶς ἀφ' οὗ καὶ τὸ οὐδαμόθεν καὶ τὸ οὐδαμῇ, θηλυκῶς, ὡς ἄλλος ἄλλη καὶ ἐκεῖνος ἐκείνῃ· καὶ ἔχουσιν (εἶχεν A) τὸ ῑ, ὡς ἀπὸ δοτικῆς· καὶ δῆλον ὡς ἀπὸ τοῦ „ταύτῃ ἐπιέναι“ (ἀπιέναι* Or.)*· καὶ οὐχὶ αὔτῃ λέγομεν.* Vgl. Schol. Od. 1, 10. Eustath. 1383, 53. Apoll. Soph. 28, 16. Hesych *Ἀμόθεν*. 183) Vgl. Or. 28, 13 und oben Gl. 125: *Ἀμύμων*.

---

1. *Ἀμφοτέρω[θεν]* B *ὀνόματος* AB 2. *οἷον* bis *κυκλόθεν* fehlt B *κύκλος*] *κύκλω* A 3. *ἀμφότερος* fehlt A 3. 4. *ἑκάτερος* bis *ἕτερος* fehlt A 5. *Ἀναβέβροχεν*] Glosse in A nach *Ἄμωμος* und vor *Ἀμωσγέπος*. — *Ἀναβέβρυχεν* B, *Ἀναβέβυκεν* A 6. *τὸ* fehlt A 7. *Ἀμωσγέπως*] Glosse in A nach 183 und 181 *τινι*] *τρόπῳ* ist zu ergänzen, fehlt auch im Lex. Segu. 9. *τῷ τὶς Δωρικόν*] *τὸ τὶς δωρῖ* AB *ἀπὸ* bis *ἀμόθεν ἐπίρρημα* fehlt B und in der Parallelglosse, steht in A nach *ἐν συνθέσει ἀμωσγέπως*, wo es den Zusammenhang unterbricht. An unserer Stelle im Gudianum. Es ist Randbemerkung des Verfassers des Etym. 10. *τῶν* fehlt A 10. 11. *θυγάτερ Διός* fehlt B 12. *γίνεται καλῶς ἐπίρρημα* B 12. 13. *γίνεται ἀμόθεν καὶ ἀμῶς ἐπίρρημα* B 13. *καλὸς*] *καλῶς* A 14. *ἐπίρρημα* fehlt B *οὐδαμὸς*] *οὐδαμῶς* AB 15. *οὕτως Ὠρ.* fehlt B, *φ*^B A 16. Gl. vor *Ἀμωσγέπως* A *παρὰ τὸ* fehlt A *οὕτως Ὠρίων* fehlt B, *φ*^B A

Der Verfasser ordnete diesen Teil nach den drei ersten Buchstaben, wodurch sich von selbst kleinere Abschnitte, *AMA*, *AMB* u. s. w. bildeten. Die Zusammensetzung derselben ist folgende:

I 1—35 *AMA*: Methodios 1—19 Teil I (eingeschoben 6 Teil I und II aus Orion, 11 Teil II und 18 aus Homer).
Choiroboskos *περὶ ποσότητος* 19 Teil II.
Orion 20—23.
Oros *περὶ ἐθνικῶν* 24—26 (24 Teil II Apollonios).
Apollonios 27. 28.
Hesiod 29. 30 (30 Teil I Orion).
Homer 31—33.
Herodian *περὶ παθῶν* 34.
Orion: 35.

II 36—52 *AMB*: Methodios 36—39 (nachgetragen 40 Schol. Il.).
Orion 41—47 (42 Teil II Theognost. 43 und 45 Schol. Il.).
Oros *περὶ ἐθνικῶν* 48 Teil I.
Apollonios 48 Teil II.
Hesiod 49.
Homer 50—52.

III 53—71 *AME*[1]): Methodios: 53—56.
Choiroboskos *κανόνες* 57.
{Choiroboskos Orthogr. 60. 61 (60 Teil II aus Methodios).
{Apollonios 58. 63. 64.
{Ilias 65—69.
{Orion 67.

IV 72—82 *AMI*: Methodios 72—74 (73 Teil II Herodian *περὶ παθῶν*; eingeschoben Athenaios 75, Philoxenos 76. 77).
Ilias 78. 79.
Orion 80.

V 83—89 *AMN*[2]): Methodios 83—87 (83 verbunden mit Orion, 85 eingeschoben).
{Ilias 88. 89.
{Orion 89.

---

1) Greift über in den Teil *AMH*, der sich mit *AMI* verbindet.
2) Greift in *AMO* über.

VI 90—104 *ΑΜΟ*[1]): Methodios 90. 91.
Herodian *περὶ παθῶν* 93.
{Ilias 94. 95 Teil II.
{Orion 95 Teil I.
Nikander 96.
Apollonios 98.
Ilias 99—104 (eingeschoben 100 und 101).

VII 105—110 *ΑΜΠ*: Methodios 105. 107. 109 (eingeschoben Schol. Lykophr. 106, Schol. Dionys. 109 Teil I).
Apollonios 110.

VIII 111—136 *ΑΜΥ*[2]): Methodios 111—121 (eingeschoben 113 Apollonios).
Orion 122—125.
{Apollonios} 126—136.
{Homer}

Wie hier so scheinen in dem gröfsten Teil des Buchstaben *Α* den Anfang der kleineren Reihen Methodios-Glossen zu bilden. Wir werden daher in dem folgenden umfangreichen und arg verwirrten Teil *ΑΜΦ* vier kleinere Reihen zu scheiden haben:

IX 137—144: Methodios 137. 138.
Orion 139.
Ilias 140—144.

X 145—153: Methodios 145—148.
Herodian *περὶ παθῶν* 149. 150.
Zenobios 152 (mit Method. verbunden).

XI 154—175: Methodios 154. 155.
{Orion 156. 159. 161 (Teil II). 162.
{Choiroboskos Orth. 160. 162.
Zenobios 166. 167.
{Apollonios 168. (170.) 171.
{Choirobosk. Orth. 169. 170.
Ilias 172. 173.
Orion 174. 175.

XII 176—183: Methodios 176. 177.
Choirob. *περὶ ποσότητος* 178.
Herodian *περὶ παθῶν* 179.
{Homer 181.
{Orion 180. 182 (Teil I *ῥητορικόν*). 183.

---

1) Greift in *ΑΜΠ* über. 2) Greift in *ΑΜΦ* über.

So wenig es mir einfallen kann, ganz genau bestimmen zu wollen, in welcher Reihenfolge der Verfasser des Etymologikon jedes einzelne Buch zur Hand nahm, so sicher scheint mir, dafs wir die Arbeitsart des mühseligen Mosaikwerkes hier noch wahrnehmen können. Es ist dies derart in keinem anderen Etymologikon möglich. Zugleich gewinnen wir für die Bestimmung der unmittelbar benutzten Quellen einen Anhalt. Erscheinen Glossen aus einem und demselben Werk häufiger in kleinen Gruppen zusammen und in bestimmter Abfolge zu anderen, so ist das Werk von dem Verfasser des Genuinum direkt benutzt.

Es sind derselben in der That mehr, wie bei irgend einem anderen Werk der Zeit, nämlich mindestens: Methodios, das Rhetorikon, Orions Etymologikon, ein namenloses Etymologikon, über welches später zu handeln ist, ferner von Choiroboskos *κανόνες*, *περὶ ποσότητος*, *περὶ ὀρθογραφίας* und die Epimerismen zu den Psalmen, von Oros *περὶ ἐθνικῶν* und *περὶ ὀρθογραφίας*, Zenobios, die pseudoherodianischen und andere Homer-Epimerismen, Herodian *περὶ παθῶν*, Theognost, Auszüge aus verschiedenen Werken des Philoxenos, vereinzelt auch Timotheos von Gaza *περὶ ὀρθογραφίας*, Athenaios, Sueton, Kratinos (der Grammatiker) u. a.; kommentierte Handschriften von Ilias und Odyssee, Hesiod Theogonie, Werke und Tage, Schild, Apollonios Rhodios, Nikander, Lykophron, Dionysios Periegetes, vereinzelt von Aristophanes und Sophokles, endlich von uns verlorenen alexandrinischen Gedichten.

Bei der Benutzung dieser Quellen verfuhr der Verfasser des Etymologikon so, dafs er, wenn seine Quelle nicht alphabetisch geordnet war, zu gleicher Zeit in die verschiedenen Buchstaben und Unterabteilungen aus derselben Einträge machte.[1]) Aus der Fülle der Beispiele greife ich einige heraus, besonders um zugleich frühere Irrtümer zu verbessern. Aus dem gleichen Scholion zu Sophokles Aias V. 143 sind folgende zwei Glossen erwachsen:

---

1) Dafs er die schon alphabetisch geordneten Quellen benutzte, um für seine Abschnitte den Rahmen zu bilden, ist nur natürlich. So steht der am strengsten und übersichtlichsten geordnete Methodios notwendig am Anfang. Gerade dafs er die einzelnen Abschnitte durch drei an der Seite ausgerückte Buchstaben wie *AMA*, *AMB* u. s. w. kenntlich gemacht hatte, hat ja offenbar den Anlafs zu der gesamten Ordnung des Etymologikon im Buchstaben *A* gegeben. Orion, Choiroboskos' Orthographie und andere minder streng geordnete Werke schieben sich ein, die Scholien-Massen bilden naturgemäfs den Schlufs oder setzen sich hier und da an schon excerpierte Bemerkungen an. Im Fortschritt des Werkes hat dann der Verfasser immer strenger alphabetisch geordnet.

Ἱππομανῆ· „*σὲ τὸν ἱππομανῆ λειμῶν' ἐπιβάντα*“ ⟨*αὐτὸν λέγει*⟩ *τὸν Αἴαντα ἤτοι πολεμικὸν καὶ ἵπποις ἐπιμαινόμενον,* ⟨*ἢ τὸν μεγάλως μαινόμενον*⟩. *εἰώθασι γὰρ τῇ προσθήκῃ τῶν τοιούτων ζῴων τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν, ἀπὸ μὲν τοῦ βοὸς βούσυκον καὶ βούπαιδα καὶ βούλιμον, ἀπὸ δὲ τοῦ ἵππου ἱπποσέλινον καὶ* „*θυμὸν ἱππογνώμονα*“ (Aesch. Fr. 243) *τὸν μεγαλογνώμονα. καὶ ἕτερον σημαινόμενόν ἐστιν τοῦ ἱππομανής· καὶ* ⟨*γὰρ εἰ*⟩ *τὸ ἱππομανής ἐστιν ἐπὶ τοῦ λειμῶνος, ἤτοι ὅπου οἱ ἵπποι μαίνονται, ἢ τὸν μέγαν καὶ ἄνετον ἢ τὸν εὐανθῆ, ἐν ᾧ εὐαυξὴς βοτάνη, ὥστε μαίνεσθαι τοὺς ἵππους* ⟨*σημαίνει. ἢ*⟩ *διὰ τὸν καιρόν — ἐπ' αὐτῆς τῆς χλόης τοῦ λειμῶνος τὴν μεγάλως μεμηνυῖαν — καὶ ἀνθοῦντα καὶ οἷον ἐνυβρίζοντα τῇ χλόῃ. ἐπεὶ καὶ φυλλομανής. οὕτω Πίος.*

Βούσυκον· εἰώθασι γὰρ τῇ προσθήκῃ τοῦ ἵππου ἢ τοῦ βοὸς τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν. ἀπὸ μὲν τοῦ βοὸς βούσυκον βούπαις βούλιμος, ἀπὸ δὲ τοῦ ἵππου ἱπποσέληνον καὶ „*θυμὸν ἱππογνώμονα*“ *τὸν μεγαλογνώμονα.*

Ähnlich ist z. B. das Glossenpaar *Σκύρος* und *Ἀργινοῦσαι*: *Ἀργινοῦσαι· ἀργιλώδεις·* „*εἰσὶν δὲ αἱ τοιαῦται εἰς καρπῶν ἀνέσεις φαῦλαι καὶ ὡς ἐπὶ τὸ πλεῖστον μηλόβοτοι καθάπερ ἡ Σκύρος καὶ αἱ λεγόμεναι Ἀργινοῦσαι.*“ *Δίδυμος καὶ Ὧρος. — Σκύρος· ἡ νῆσος· ἐπεὶ ἀργιλώδης ἐστὶ καὶ λευκόγεως. σκύρος γὰρ ἡ λατύπη. Δίδυμος λέγει ἐν ὑπομνήματι ξ' Ὀδυσσείας οὕτως·* „*αἱ ἀργιλώδεις φαῦλαι εἰς καρπῶν ἀνέσεις, μηλόβοτοι δὲ καθάπερ Σκύρος καὶ αἱ λεγόμεναι Ἀργινοῦσαι.*“ ⟨*Ὧρος*⟩. Ein drittes nicht minder klares Beispiel bietet das aus den Apollonios-Scholien entnommene Glossenpaar *Ἀπάργματα* und *Ἐξάργματα,* welches ich im Ind. lection. Rostock. 1890/91 besprochen habe; wenn ich dort im Anfang der Erklärung

---

1. *Ἱππομανῆς AB* 1. 2. *ἱππομανῆα λειμῶν B* 2. 3. ⟨*αὐτὸν λέγει*⟩ aus den Schol. Laur. ergänzt 5. ⟨*ἢ τὸν μεγάλως μαινόμενον*⟩ zum Teil aus den Scholien ergänzt, in welchen der Satz an falsche Stelle geraten ist. 6. *εἰώθασι*] *εἰῶ* (ϑ übergeschrieben) *B, εἴωθε A* *τοιούτων* fehlt *A* Spalte 2: 8. *ἀπὸ*] *αὐτῶ A* 9. *βουσικὸν A, βούσικον B* 10. 11. *ἱπποσέλινον B* richtig 12. 13. *μεγάλης γνώμης AB, μεγαλογνώμονα* Scholion und Spalte 2 *AB* 14. *καὶ* fehlt *B* 15. *οἱ* fehlt *A* 16. *εὐαξὴς AB* *μαίνεσθαι B, σημαίνεσθαι A* 18. *μεμηνῶσαν AB, μεμηνυῖαν* verbessert über der Zeile *A*. Zu einem Satz ⟨*ἢ*⟩ *διὰ τὸν καιρόν,* ⟨*τὸν ἄγαν μεμηνότα*⟩ *καὶ ἀνθοῦντα* u. s. w. (vgl. Schol. Laur.) war zugefügt *ἢ ἐπ' αὐτῆς τῆς χλόης τοῦ λειμῶνος τὴν μεγ. μεμην.* 19. *φυλομανής AB* *οὕτω Πίος* fehlt *B* 21. *Ἀργίννουσαι A, Ἀργένουσαι B* *δὲ αἱ B, αἱ δὲ A* 23. *ἀργίννουσαι AB* *Δίδ. καὶ Ὧρος* fehlt *B* 26. *καρ* (π übergeschrieben) *A, καρπὸν B* *δὲ* fehlt *B* 27. *λεγόμαιναι A* *Ἀργίνουσαι B, ἀργίνουσσαι A* ⟨*Ὧρος*⟩ ergänzt aus Vulg.

nach dem Cod. Guelfyb. des Apollonios ergänzen zu müssen glaubte ⟨*ἐξάργματα καὶ*⟩ *ἀπάργματα*, so wird dies durch die Parallelglosse *Ἐξάργματα· εἰς τὸ Ἀπάργματα* bestätigt.[1])

Allein gerade diese Verweisungen wie *ζήτει εἰς τὸ ....*, *ἡ χρῆσις εἰς τὸ ....*, *ἡ ἐτυμολογία εἰς τὸ ....*, *εἴρηται εἰς τὸ ....*, welche durch das ganze Werk verstreut sind, verdienen noch besondere Berücksichtigung, da schon Miller richtig aus ihnen gefolgert hat, daſs uns das Etymologikon genuinum nicht vollständig, sondern nur in einem Auszug vorliege, weil, wie ja auch das Probestück zeigt, oft genug an der Stelle, auf welche wir verwiesen werden, nichts von dem, was wir erwarten, steht.

Ich muſs etwas weiter ausholen, da wir hier verschiedene Erscheinungen sondern und verschieden erklären müssen. Der Verfasser des Etymologikon will im wesentlichen nichts Eigenes geben, sondern die Tradition der älteren Grammatiker; daher die wortgetreue Benutzung seiner Quellen und die Ehrlichkeit im Citieren. Für die Art der Quellenangaben ist bezeichnend: *οὕτως Ζηνόβιος καὶ πάντες οὓς ἀνέγνων* (Glosse *Ἴασι*); hätte einer dieser *πάντες* eine wesentlich abweichende Meinung gehabt, er wäre genannt worden; da sie alle übereinstimmen, nennt der Etymologos (es sei gestattet, das kurze Wort einzuführen) nur die erste Quelle; nur auf die Sache, die Meinung kommt

---

1) Vgl. z. B. noch *Ἀφθονέστατον* und *Αἰδοιέστατον* Ind. lect. Rostock 1890/91 S. 5 und die Herodian-Glossen Ind. lect. Rost. 1891/92 S. 19 ff. Den Hergang veranschaulicht in dem Probestück trefflich Glosse 164 *Ἀμφί*; in dem aus den Epimerismen entlehnten Stück werden zunächst als Beleg für die Nebenform *ἀμπί* die Wörter *ἀμπεχόνη* und *ἀμπίσχουσα* (Plato Polit. 311 C) angeführt, sodann ersteres aus dem Rhetorikon erläutert. Gleichzeitig machte der Verfasser zu dem schon früher geschriebenen Stück *ΑΜΠ* den Nachtrag *Ἀμπεχόνη· εἴρηται εἰς τὴν ἀμφί πρόθεσιν* und *Ἀμπίσχουσα· εἴρηται εἰς τὴν ἀμφί πρόθεσιν*. Oder vielmehr, er schrieb ursprünglich an den Rand:

ʼΑΜΠΕΧΌΝΗ
ʼΑΜΠΊСΧΟΥСΑ
εἴρηται εἰς τὴν ἀμφί πρόθεσιν.

ζονται ἐρέττοντες. ⟨ἐστὶ δὲ καὶ ὄνομα πόλεως, γράφεται δὲ διὰ τοῦ ῑ τῷ λόγῳ τῶν διὰ τοῦ ῑᾱ⟩. — Ὑπηρέσιον· ὁ διδόμενος μισθὸς τοῖς ὑπηρετοῦσι, τοῖς στρατευομένοις καὶ ἐρέσσουσι ⟨καὶ δουλεύουσιν· ἀπὸ τοῦ ὑπηρετεῖν⟩. — Ὑπηρέτης· κυρίως ὁ κωπηλάτης, παρὰ τὸ ἐρέσσω, ⟨τὸ κωπηλατῶ⟩, καταχρηστικῶς δὲ καὶ ὁ ὑπουργός· αἴρω αἱρέτης καὶ ὑπηρέτης ὁ πρὸς τὸ αἴρειν ἐπιτήδειος· ἢ ⟨παρὰ τὸ⟩ ἀρέσω ἀρέτης καὶ ὑπηρέτης. — ⟨Ὑπηρέσιον· κυρίως, ἐφ' οὗ καθίζουσιν οἱ ἐρέται⟩.

Dem entspricht in der „grofsen Grammatik" (Cod. Flor. und Voss.):

Ὑπήνη· αἱ ὑποκάτω τοῦ γενείου τρίχες, παρὰ τὸ ὑπεῖναι καὶ ὑποκεῖσθαι τῷ γενείῳ· οἱ δὲ παρὰ τὸ ἵημι, ἥσω, ἥνη καὶ ὑπήνη, παρὰ τὴν ἕσιν τῶν τριχῶν. οὐκ ἔδει δὲ ψιλοῦσθαι. οὕτω φησὶν Ὦρος. ἐν δὲ τῷ Ῥητορικῷ λεξικῷ εὗρον σημαίνειν τὴν λέξιν μύστακα, γένειον, πώγωνα. ἢ τοῦ ἄνω χείλους τρίχωσις. ταῦτα εἰς τὸ Μέγα Ἐτυμολογικόν, εἰς δὲ τὸ Αἱμωδεῖν εἶχεν οὕτως· ὑπηνήτης ἀκμαῖος, ἄρτι γενειῶν· ὑπήνη γὰρ λέγεται ἡ τοῦ ἄνω χείλους τρίχωσις, ὑπάνη τις οὖσα, παρὰ τὸ ἄνω ὑπεῖναι· μύσταξ δὲ λέγεται ἡ ἀπὸ τῶν μυκτήρων τρίχωσις. ἔχεις καὶ εἰς τὸ Ἴουλος, καὶ ζήτει ἐκεῖ. — Ὑπηρέτης· κυρίως ὁ κωπηλάτης, ἐκ τῆς ὑπό προθέσεως καὶ τοῦ ἐρέσσω, τὸ κωπηλατῶ, γίνεται ὑποερέτης, ἐκβολῇ τοῦ ō καὶ τροπῇ τοῦ ē εἰς η̄ ὑπηρέτης. ἐξ οὗ καὶ ῥῆμα ὑπηρετῶ. καταχρηστικῶς δὲ καὶ ὁ ὑπουργός, παρὰ τὸ αἴρω αἱρέτης καὶ ὑπηρέτης, ὁ πρὸς τὸ αἴρειν ἐπιτήδειος. ἢ παρὰ τὸ ἀρῶ, ἀρέσω, ἀρέτης καὶ ὑπηρέτης. — Ὑπηρέσιον· κυρίως ἐφ' οὗ καθέζονται οἱ ἐρέται ἀπὸ τοῦ ἐρέσσω. ἐν δὲ ἑτέρῳ τῶν ἀντιγράφων οὕτως· ὑπηρέσιον· ὁ διδόμενος μισθὸς τοῖς ὑπηρετοῦσι, τοῖς στρατευομένοις καὶ ἐρέττουσι. — Ὑπηρέσια· κυρίως ἐπὶ τῶν ὑπηρετῶν, ἐφ' ὧν κάθηνται ἐρέττοντες· ὑπηρέσιά τινα ὄντα· οὕτως Εἰρηναῖος ὁ Ἀττικιστής· κατὰ δὲ Ὦρον ἐστὶ καὶ ὄνομα πόλεως Ὑπηρεσία. τὰ ἀπὸ ἀρσενικῶν ἐχόντων τὸ τ̄ διὰ τοῦ ῑᾱ γινόμενα θηλυκὰ πρὸ μιᾶς τὸν τόνον ἔχοντα διὰ τοῦ ῑ γράφεται, ἄλουτος ἀλουσία, Μάγνης Μάγνητος Μαγνησία· οὕτως ὑπηρέτης (ὑπήρετος Codd.) *Ὑπηρεσία.*

Man vergleiche das Magnum 780, 29—50, welches den Hauptteil aus einer dem Cod. *A* ähnlichen Abschrift des Genuinum schöpft. Der letzte Satz mag einem volleren Exemplar des Symeon, der die Regel nachgeschlagen hat, entstammen.

Symeon giebt im wesentlichen nur eine verkürzte Abschrift des Genuinum, ab und an mit ein paar Zusätzen aus anderen Quellen. Zahlreicher sind sie nur in der ersten Hälfte des Buch-

staben *A* und hier steht die Mehrzahl in geschlossener Reihe vor den Gruppen der mit *Αλ*, *Αμ* oder *Αν* beginnenden Glossen des Genuinum. Symeon hatte sich hier also in seinem Entwurf Blätter freigelassen (vgl. S. 217 A.), aufserdem aber auch zu den aus dem Genuinum entlehnten Reihen Randbemerkungen gemacht. Später scheint er sich auf diese allein beschränkt zu haben. Die Quellen seiner Zusätze sind natürlich aus den zusammenhängenden Reihen zu bestimmen.

Auf die eine derselben weist er uns selbst in der Vorrede zu einem anderen, ebenfalls noch ungedruckten Werk, einer äufserst umfangreichen, zum grofsen Teil aus dem sogenannten Ammonios geschöpften Schrift *De differentiis verborum* im Vat. 1362 (Papierhandschrift in Folio aus dem XV. Jahrhundert, früher im Besitz des Fulvio Orsini, vgl. Nolhac Bibl. d. F. O. 343). Der Eingang lautet (Fol. 73) *Τοῦ κυροῦ Συμεὼν — Συναγωγὴ πρὸς διαφόρους σημαινομένους* (?) *σημασίας — Τὸν περὶ ἐτυμολογίας λόγον ἐν τοῖς φθάσασιν ἀπαρτίσας νῦν περὶ διαφόρους* (?) *σημασίας ὀνομάτων καὶ ἄλλων τινῶν λόγου μερῶν ἐν ὀλίγῳ δηλώσω ἄγαν φιλότεχνον θεωρίαν καὶ τοῖς ἐντυγχάνουσιν πάνυ ὠφέλιμον, ἣν οἱ μὲν πλείους ἐν ταῖς ἐτυμολογίαις ἀνέμιξαν· ἐμοὶ δὲ καλὸν ἔδοξε καὶ ταύτης ἀναγραφὴν ἰδίᾳ ποιήσασθαι πρὸς τὸ εὔληπτον καὶ σαφὲς τῶν φιλομαθούντων. ἔστι δὲ καὶ ταύτης κατὰ στοιχεῖον ἡ τάξις.* Symeon verweist mit diesen Worten offenbar auf das Etymol. Gudianum, in welches ja sogar mehrere derartige Traktate hineingearbeitet sind. Wenn daher auch in dem Etymologikon Symeons eine Anzahl von Glossen aus dem Gudianum wiederkehren, so wird diesmal wohl an der direkten Benutzung desselben ein Zweifel überhaupt nicht möglich sein.[1])

Die zweite Hauptquelle dieser Zusätze ist das Werk des

---

1) Ich glaube, wir dürfen aus dieser Vorrede sogar noch mehr schliefsen. Symeon spricht von mehreren Etymologika und kann das Genuinum, in welchem derartige Glossen ganz vereinzelt sind, schwerlich mit einbegreifen. Es ist dagegen möglich, dafs er das Magnum schon kennt; Glossen wie 71. 78 vgl. Cod. *M*) 94. 98. 133. 135. 166. 180 machen es mir sogar wahrscheinlich. Es ist schwer glaublich, dafs eine derartige Übereinstimmung auf Zufall beruht. Dafs Symeon daneben das Gudianum auch direkt benutzt, zeigen Glossen wie 37 und 187. Einen gemeinsamen Grundstock für Symeon und das Magnum dürfen wir nicht annehmen, da ersterer meist mit Cod. *B*, letzteres mit *A* geht (vgl. unten S. 281). Wohl aber ist glaublich, dafs er das fast gleichzeitige Magnum, mit welchem er rivalisiert, ab und an eingesehen hat. Dasselbe that der Verfasser der *μεγάλη γραμματική* und noch später der Schreiber des Cod. Vossianus. Es ist für diese Zeit ein allgemein benutztes Handbuch.

Stephanos von Byzanz, freilich in noch stärkerer Abkürzung als in unseren Handschriften. Eine grofse Anzahl besonders von Citaten fehlen. Verschwindend gering ist das Plus, was Symeon an vereinzelten Stellen bietet. Man vergleiche in dem Probestück die Glossen *Ἄμαστρις* und *Ἄμος*. Die *μεγάλη γραμματική* freilich bietet öfters Zusätze, aber entweder aus einem anderen Exemplar oder, wie ich lieber glaube, überhaupt nicht aus Stephanos. Man
1 vergleiche etwa die Glosse *Ἄλος· πόλις Ἀχαίας· ἀπὸ τῆς ἄλης τῆς
συμβάσης τῷ κτίσαντι αὐτὴν Ἀθάμαντι. οὕτως .... λέγεται καὶ
ἀρσενικῶς καὶ θηλυκῶς. τὸ ἐθνικὸν Ἀλεύς. Σοφοκλῆς δὲ Ἀλου-
σίους, τινὲς δὲ Ἀλίους*, und *Ἀναργυροῦς·* (so) *δῆμος τῆς Ἐρεχ-
5 θῆδος φυλῆς· Ἀναργυρουντόθεν τὸ ἐκ τόπου καὶ Ἀναργυρουντάδε
εἰς τόπον. λέγεται δὲ καὶ Ἀναργυράσιος. ἐζήτηται δὲ πῶς ἔχει τὸ ᾱ·
ἔδει γὰρ ὡς Ῥαμνούσιος. ἀλλ᾽ ἔοικε τὸ ρ̄ αἴτιον εἶναι, φιληδοῦν
8 τῇ συντάξει τοῦ ᾱ· ὡς τὸ Φλιοῦς Φλιάσιος.* Bemerkenswert ist, dafs sich der von Symeon benutzte Codex des Stephanos oft mit dem von Aldus benutzten berührt. Alle von Symeon zugefügten Glossen, welche aus geographischer Quelle stammen, sind ohne weiteres für Stephanos in Anspruch zu nehmen.

Die dritte Hauptquelle Symeons ist ein uns verlorenes *ῥητορικόν*, welches auch einzelne Dichterworte enthielt, in seinen Citaten meist die ältere attische Prosa (besonders Plato) berücksichtigt (doch auch vereinzelt Plutarch mit anführt), die Konstruktionen einzelner Zeitwörter und die Bedeutungen der Bindepartikeln erläutert, kurz, trotz vieler aus Pausanias oder Aelius Dionysius stammender Angaben durchaus den Charakter der zahlreichen unveröffentlichten byzantinischen Stücke derart trägt. Die *μεγάλη γραμματική* bietet hier besonders viel Zusätze; wer die Quelle bestimmen will, darf nur von dem Vindobonensis ausgehen. In dem Abschnitt *Αλ* sind derselben folgende Glossen entlehnt: *Ἁλίσκεσθαι ἐν συμφοραῖς καὶ ὑπὸ συμφορᾶς καὶ συμφορᾷ. — Ἀλλά· τοῦτον τὸν σύνδεσμον παραλαμβάνομεν κόσμου ἕνεκα. — Ἀλλά· οὗτος ὁ*

---

2. *ἀθάμαντος* Vind. Codd. ohne Lücke; bei Stephanos fehlt *οὕτως* 3. *δὲ*] *καὶ* Laur. Voss. 4. *τινὲς*] *ἕτεροι* Laur. Voss. 4. Nach *Ἀλίους*: *ὡς Πύλος Πύλιος Πυλίους* im Laur. Voss. zugefügt. Ebenso wie im Eingang dieser Glosse ist z. B. in der Glosse *Ἀνακτόρειον* der Text des Stephanos schon von Symeon umgestaltet: *Σοφοκλῆς δὲ διὰ τοῦ ῑ „ἀνακτόριον τῆσδ᾽ ἐπώνυμον χθονός"*, *Θουκυδίδης δὲ ἀρσενικῶς* (so Vind.) *τῆς* fehlt Laur. Voss. 5. Nach *φυλῆς* nur *ὁ δημότης ἀναργυρούντιος ὡς τραπεζούντιος λέγεται καὶ ἀναργυράσιος* Voss. im Text, hierzu am Rand (nach *δημότης*) *ἀναργυρουντόθεν ὁμοίως τοῖς ἐκ τόπου ὡς ὁ σταγειρόθεν καὶ ὁ ἄσκρηθεν ὁ ἀπὸ σταγείρων ὁ ἀπὸ ἄσκρης, ὁ ἀπὸ ἀναργυροῦντος καί*; der Laur. hat dies im Text. 7. *φλιοῦς φλιάδος* Laur. Hierauf fügen Laur. Voss. zu *τὸ ἐκ τόπου Ἀναργυρουντόθεν καὶ* (fehlt Laur.) *Ἀναργυρουντάδε εἰς τόπον*.

σύνδεσμος δοκεῖ προκειμένοις τισὶν ἐπιφέρεσθαι, οἷον „οὐκ ἐγὼ ταῦτα εἶπον, ἀλλ' οὗτος", καὶ ἐν τῷ „οὐ μὴν ἀλλ' ἔγωγε". ἄρχων δὲ λόγου θαυμασμόν τινα καὶ ἔκπληξιν εἰσάγει, οἷον „ἀλλ' ἔμοιγε δοκεῖ". — Ἄλλως καὶ ὡς ἄλλως· ἀντὶ τοῦ μάτην, οἷον „οὐδ' ἵνα ὡς ἄλλως ἀδολεσχῶ" (Demosth. Phil. 2, 32). — Ἄλλο τι οὖν ἢ τόδε· καὶ ἄλλο τι οὖν τόδε, χωρὶς τοῦ ἤ. — Ἀλλ' οὖν συντάσσεται ἐλλιπεῖ φράσει, οἷον „ὅσα μὲν ὑπὸ τῶν Λακεδαιμονίων ἔπασχον οἱ Ἕλληνες, ἀλλ' οὖν ὑπὸ γνησίων πολιτῶν" (Demosth. Phil. 3, 30). ἐμφαίνει γάρ τι τοιοῦτον „εἰ καὶ μηδὲν ἕτερον, ἀλλὰ τοῦτο γοῦν". — Ἄλλοθι πανταχοῦ· καὶ ἄλλοθι οὐδαμοῦ, οἷον „καὶ ἐν κιθαριστοῦ καὶ ἄλλοθι πανταχοῦ" καὶ πάλιν „οὔτ' ἐν λέξει οὔτ' ἄλλοθι οὐδαμοῦ" (Plat. Charm. 160 C.) — Ἁλμάδες ἐλαῖαι. — Ἀλοκίζειν· ἀροτριᾶν. — Ἄλογοι· οἱ μήπω ἀνῃρημένοι τὸν ἔρανον ἐρανισταί, οἱ μήπω καταθέμενοι τοῦ ἐράνου τὴν καταβολήν. — Ἁλῶναι ὑπὸ τούτων καὶ ἁλῶναι εἰς τοὺς πολεμίους, οἷον „καὶ ἑάλωμεν εἰς τοὺς πολεμίους".

Die vierte Hauptquelle ist ein orthographischer Traktat, der sich vielfach mit Choiroboskos und Timotheos berührt, aber nicht von ihnen stammt; er war ursprünglich wohl nicht alphabetisch, sondern sachlich geordnet. Als Probe mag aufser den später anzuführenden Glossen Ἀμοθεί und Ἀμνισός etwa die Glosse Ἀλεξάνδρεια bei Gaisf. Col. 157 dienen.

Was Symeon an dem Verfasser des Genuinum, das verübt an ihm der Autor der μεγάλη γραμματική, indem er zugleich den einzigen Verfassernamen, der sich widerrechtlich in die Tradition der Etymologika eingedrängt hat, wieder beseitigt. Um die Zuthaten dieser Recension zu charakterisieren, genügt es wohl auf Glossen wie Ἀμπείραντες, Ἀμφιέννυνται, Ἀμφικτύονες zu verweisen. Die eine Nebenquelle ist, wie schon erwähnt, das sogenannte Magnum. Eine Übereinstimmung der γραμματική mit demselben gestattet, wenn die Symeon-Überlieferung abweicht, nie irgend welchen Schlufs auf das Genuinum.

Aber auch die γραμματική selbst ist in keiner der beiden Handschriften von Überarbeitungen verschont geblieben. Schon der Cod. Florentinus zeigt am Rande bisweilen Zusätze von erster Hand (besonders oft orthographische Regeln), der Vossianus ist in seinem ersten Teil planmäfsig aus einer Handschrift des sogenannten Magnum und vielleicht noch anderen Quellen interpoliert (vgl. S. 220). Es herrscht ein beständiges Umbilden und Umformen der Überlieferung auf diesem Gebiet, welches die Arbeit mühselig und die Resultate geringfügig macht.

Es folge die Beschreibung der Handschriften und das Probestück.

F = Vindob. phil. 131, Papierhandschrift etwa aus der Mitte des XIV. Jahrhunderts, 171 Blätter stark (das letzte von jüngerer Hand aus einer ähnlichen Vorlage ergänzt); Blattraum 23,8 × 16,3 cm. Aus dem Besitz des Sebastian Tengnagel. Das Etymologikon beginnt Fol. 1ʳ nach der oben angeführten Überschrift mit den Worten *Ἀασάμην· ἐβλάβην. ἀπὸ τοῦ ἄω* und endet 171ᵛ in der Glosse *Ὡρολογεῖον* mit den Worten *λογεῖον τὸ τοῦ ἱερέως, λόγιον δὲ τὸ ὑπομαστικόν* (lies *ὑποκοριστικόν*). *τέλος*. Es folgt ein kurzer Abschnitt *περὶ τῆς κλίσεως τοῦ κυνός*. Die Hälfte der ersten Seite, nach Gl. *Ἄβαξ*, ist freigelassen; der Schreiber beginnt wieder in Gl. *Ἀβάκησαν* mit den Worten *ἀγνοῆσαι. καθίσταται δὲ ὁ σχηματισμὸς οὕτως*. Über den freien Raum hat ein Humanist des XV. Jahrhunderts ein kleines Blatt mit einer Inhaltsangabe geklebt. Auch vorher hat der Schreiber von *F* in den ersten Glossen schon grofse Lücken (bis zur Länge einer halben Zeile) gelassen. Das Exemplar, welches er vor sich hatte, war also zu Anfang abgerieben und unleserlich.

E = Parmensis 2139, Papierhandschrift aus der ersten Hälfte des XIV. Jahrhunderts; die Blätter sind nicht gezählt; Blattraum 17,2 × 12,3 cm, Schriftraum 14 × 10,5 cm; sehr klein geschrieben und schlecht erhalten. Das Etymologikon beginnt Fol. 1ʳ wie in *F* und endet (unvollständig) auf dem letzten Blatt mit den Worten *Ὠκυάλου· ἡ ἁλὸς γενικὴ ἐπὶ μὲν συνθέτων κυρίων ψιλῶς, ἐπὶ*. Auch seine Vorlage war zu Anfang unleserlich. Der zweite Teil der Glosse *Ἀάπτους* (von *ὁ δὲ Ἡρῳδιανός* an) bis zum ersten Teil der Glosse *Ἀβακής* (bis *οἵ χθονίους ἔχουσι ῥυθμούς* exkl.) fehlen. An ihrer Stelle sind vier Fünftel der Seite freigelassen und von einer jüngeren Hand mit wertlosen Spielereien angefüllt; vor dem Wiederbeginn der alten Schrift steht am Rand von erster Hand [*τὸ ᾱ*] *μετὰ τοῦ β̄*. *E* ist also (freilich nicht unmittelbar) aus derselben Vorlage wie *F* entnommen, doch hat sein Schreiber die Überlieferung öfter geändert.

C = Laurent. S. Marci 303, Papierhandschrift aus dem Ende des XIII. Jahrhunderts, 212 Blätter stark, Blattraum 25 × 16 cm, Schriftraum 17 × 11 cm; sehr klein aber trefflich geschrieben. Die Lemmata am Rand und eine Anzahl von Bemerkungen zwischen den Zeilen sind von erster Hand mit roter Tinte nachträglich zugefügt.[1]) Das Etymologikon beginnt Fol. 1ʳ. Über die Geschicke

1) Aufserdem von anderer Hand an den Rändern eine Anzahl von Briefen des Psellos und ein Brief des Planudes *πρὸς τὸν Ῥόδον*.

der Handschrift geben eine grofse Anzahl von Besitzervermerken Aufschlufs. Gefertigt ist sie von Nikolaos Kaloeides, der sich selbst in einem Gedicht im Eingang nennt; im Jahre 1291 schenkte er sie seinem Schwiegersohn Theodoros Lithopyrgites (offenbar bei der Hochzeit) und trug selbst dessen Namen als den des Besitzers ein. Ende des XIV. Jahrhunderts war sie im Besitz eines Lehrers Asannes, welcher im Jahre 1386 starb; im Anfang des XV. Jahrhunderts kam sie nach Florenz und durch Schenkung an Carlo Marsuppini von Arezzo[1]), den im Jahre 1453 gestorbenen Freund des Nicolo da Nicoli, und später an Angelo Poliziano, aus der Hinterlassenschaft des letzteren endlich im Jahre 1497 in die Bibliothek von S. Marco zum Ersatz für Handschriften, welche Polizian derselben entliehen hatte und welche nach seinem Tode samt dem übrigen Nachlafs gestohlen waren. Dafs Polizian nach der Überschrift dieser Handschrift sich den „grofsen Grammatiker“ Nikas als Verfasser des Etymologikon erfand, ist früher erwähnt (S. 6). Auf seinen Rat wurde ein umfangreiches Excerpt aus ihr als erstes aller grammatischen Werke im Jahre 1496 gedruckt. Ich meine die Eklogen des Varinus Phavorinus Camers, des Freundes und Schülers Polizians, welche den Hauptteil des *Thesaurus Cornucopiae et Horti Adonidis* von Aldus ausmachen.[2]) Der Beistand Polizians, dessen Aldus sich rühmt, hat wohl nur in der Erlaubnis, diese Handschrift zu benutzen, bestanden. Phavorinus hat seine Quellen nicht eben weit gesucht; die meiste Mühe hätte ihm gewifs Eustathios machen können; er hebt ihn daher auch in der Einleitung nochmals hervor: *διεξελήλυθα οὖν μετὰ πάσης σπουδῆς ὅλον τὸν Εὐστάθιον . . . . . . ἀνέγνωκα δὲ καὶ τὸ μέγα ἐτυμολογικὸν*[3]) *καὶ ἄλλους τινὰς ἐξηγητάς*, aber er hat ihn nur flüchtig durchblättert und ihm wenig entnommen. Von den 48 Glossen z. B., welche dem verkürzt abgedruckten Probestück entsprechen, gehen nur drei auf Eustathios zurück (*Ἄμμε*, *Ἀμβροσία*,

1) Fol. 212 *est mei Caroli Arretini nam dono mihi dederunt.* Darauf, dafs dies Carlo Marsuppini ist (vgl. z. B. den Brief des Antonios Eparchos bei E. Legrand Bibliographie hellénique II 374), machte mich Br. Keil gütigst aufmerksam.

2) Titel *Ἐκ τῶν Εὐσταθίου καὶ ἄλλων ἐνδόξων γραμματικῶν Βαρίνου Κάμηρτος ἐκλογαὶ κατὰ στοιχεῖον.* Einen sehr überflüssigen Neudruck bietet W. Dindorf Grammat. graec. I 71 ff.

3) Der Titel *μέγα ἐτυμολογικόν* ist also nicht Erfindung des Kallierges, sondern in Florenz schon früher üblich, wenn auch für ein anderes Werk. Man vgl. die oben S. 218 angeführte Randbemerkung des Cod. Matritensis N. 21, die ja ebenfalls vor dem Erscheinen der *Editio princeps* geschrieben ist.

Ἄμμιν 105, 32—106, 24 Di. = Eust. 47, 30. 160, 23. 1112, 35), eine auf das Etym. Gudian. (Ἀμαθύνειν, 98, 31 Di. = Gudian. Gl. 18), jedenfalls aus einer Handschrift der Laurentiana, endlich vier auf die „anderen Exegeten" (Ἄμβροτον, Ἁμαρτάνω, Ἀμφιαχυῖαν, Ἀμύγμων 105, 18—31 Di.), die vierzig übrigen stammen aus dem Laur. S. Marci 303. Wir erkennen an der Glossenfolge noch leicht, dafs Phavorinus ihn zweimal excerpierend durchgelesen hat. Er hat im allgemeinen wortgetreu kopiert. Dafs ab und an ein kleiner Zusatz begegnet, findet seine Erklärung wohl in den Worten des Aldus *multa enim addidi, plurima mutavi.*

D = Vossianus gr. 20, Papierhandschrift, in dem Hauptteil aus dem Ende des XIII. Jahrhunderts, vom Athos[1]) stammend, später dem Henricus Stephanus gehörig, 329 Blätter stark, von denen jedoch 241—247, 250—253, 317—321 unbeschrieben sind; Blattraum 23,2 × 16 cm; aus drei Handschriften zusammengebunden. I. Fol. 7—233[2]) und zwar 1) Fol. 7—209 die μεγάλη γραμματική. Nach der Überschrift (vgl. oben) von einer Hand des XVI. Jahrhunderts eingetragen τοῦ θαυμασιωτάτου καὶ σοφωτάτου καὶ τεχνοπολυμαθοῦς σουΐδα. Anfang πόθεν ἄλφα; παρὰ τὸ ἄλφω, Ende 209ʳ (in Glosse Ὦρτο) ὦρτο καὶ ἐνῶρτο:- 2) ein Excerpt aus dem sogenannten Magnum (vgl. oben); beginnt ohne Überschrift 210ʳ Ἀβαρνίδα· Διονύσου ἐρασθεῖσα Ἀφροδίτη . ., endet 233ʳ in der Glosse Ἁρμάτειον μέλος mit den Worten οὕτω Μεθόδιος. ἢ τὸν ἱπποθόρον ὃν ἄδουσι φρύγες ἐπανὸ ἵπποι. II. Fol. 234—252. — Von drei verschiedenen Händen des XV. Jahrhunderts. τοῦ δαμασκηνοῦ περὶ ἀποφάνσεως ἀποφάσεως τε καὶ καταφάσεως. — 235ʳ ἑρμηνεῖαι σὺν θεῷ ὀνομάτων καὶ λέξεων ἑβραϊκῶν. — 239ʳ ψῆφος τοῦ μωσῆς ὀνόματος καὶ ⟨τοῦ⟩ χριστὸς καὶ τοῦ σταυρός. — 239ᵛ διὰ τί λέγονται βαΐα οἱ κλάδοι τῶν φοινίκων. 240ʳ frei, 240ᵛ ἱερὰ γαληνοῦ. 241—247 frei. 248 ἀρχὴ σὺν θεῷ τῶν ἐρωτημάτων στοιχείων (so). 249ᵛ—253 leer.

1) Vgl. S. 253 A. 3.

2) Die vorausgehenden Blätter 1—6 enthalten allerhand Miscellen von verschiedenen Händen aus dem Ende des XIV. und Anfang des XV. Jahrhunderts, nämlich Fol. 1ʳ die Namen der Monate. — περὶ τοῦ καλουμένου ἐμβολίμου μηνός. 1ᵛ—2ʳ περὶ καλανδῶν νόννων καὶ εἰδῶν. — περὶ τῶν δώδεκα μηνῶν καὶ τῆς ἐν αὐτοῖς διαίτης. 2ᵛ 12 Jamben über die Zeichen des Tierkreises. 3ʳ περὶ τοῦ δισέκτου. 3ᵛ und 4ʳ frei; 4ᵛ ἡροδότου τοῦ σοφωτάτου περὶ τῆς ἁγίας τριάδος. 5ʳ πῶς συνέστη ἡ τῶν Ἑλληνικῶν γραμμάτων εὕρεσις. Alphabete. — 5ᵛ τί ἐστιν οὐσία τῆς γραμματικῆς. — Namen und Sprüche der 7 Weisen. 6ʳ περὶ παθῶν. ἀττικὴ πρόσθεσις ὧρα ἑώρα κτλ. Militärische Technologien. Regeln. διαφοραὶ λέξεων. — 6ᵛ περὶ παθῶν. πάθη λέξεων εἰσὶν κζ'. κτλ.

III. Fol. 254—316 von einer Hand aus dem Ende des XIII. Jahrhunderts: 254—262 *τοῦ μακαριωτάτου ἐπισκόπου Κορίνθου περὶ ἰδιωμάτων τῶν διαλέκτων.* 262^{v}—263^{v} *γεωργίου τοῦ χοιροβοσκοῦ περὶ τρόπων ποιητικῶν.* 263^{v} *περὶ παθῶν τῶν λέξεων κατὰ τρύφωνα τὸν γραμματικόν.* 264^{v} *τοῦ αὐτοῦ περὶ τρόπων.* 266^{v} *περὶ τῶν πρωτοτύπων καὶ παραγώγων ἀντωνυμιῶν.* 267^{v}—281^{r} Michael Synkellos *περὶ συντάξεως.* 281^{r} *περὶ τοῦ ἰαμβικοῦ μέτρου τοῦ τε ἡρωϊκοῦ καὶ ἐλεγειακοῦ κτλ.*, 281^{v} *περὶ ποδός*, 282^{v} *περὶ τῆς τῶν στίχων τεχνεύσεως.* 283^{v} Lachares. 284^{r} *περὶ τῶν ἀνατιθεμένων τοῖς θεοῖς ζώων.* 284^{v} *περὶ τοῦ η̄ μορίου ποσαχῶς λαμβάνεται* und bis 308 *περὶ παραγωγῶν γενικῶν ἀπὸ διαλέκτων* (vgl. Exkurs II). 308^{v} *λεξικὸν περὶ πνευμάτων ἐκλεγὲν ἐκ τῶν περὶ πνευμάτων τρύφωνος, χοιροβοσκοῦ, θεωδωρίτου καὶ ἑτέρων καὶ ἀντιγράφοις διαφόροις ἀντιβληθὲν καὶ ὀρθωθέν.* 315 *περὶ τόνων κατὰ στοιχεῖον, περὶ τονιζομένων λέξεων παρεκβολαὶ ἐκ τοῦ ὤρου χοιροβοσκοῦ φιλοπόνου καὶ ἑτέρων.* 323^{v} (von einer Hand des XVI. Jahrhunderts) *τοῦ μακαριωτάτου στεφάνου διακόνου τῆς μεγάλης ἐκκλησίας καὶ διδασκάλου τοῦ βασιλέως ῥωμανοῦ ἐκλογαὶ χρήσιμοι τοῖς φιλομαθέσι καὶ σπουδαίοις* (rhetorisch).

Ich habe die Handschrift dank der bekannten hochherzigen Liberalität der Leydener Bibliotheksverwaltung sowohl in Breslau wie in Strafsburg selbst benutzen können und ihren gesamten Anfang bis über das Probestück hinaus kopiert und mit *C* verglichen.

Das folgende Probestück bietet den Text Symeons; die Erweiterungen sind im Apparat angegeben.

Die Reihenfolge der entsprechenden Glossen bei Varinus ist 48. 65. 83. 84. 85. 87. 95. 97. 99. 104 (*Ἀμορμεύεσκε*). 129. 130 (*Ἀμῦναι*, *Ἀμύσσω*, *Ἀμφανδόν*, *Ἀμφιγυήεις*, *Ἀμφίδρυφοι*, *Ἀμφίς*, *Ἀμφισβητεῖν*). 166 (*Ἀμφικύπελον*, *Ἀμφιειμένος*, *Ἀμφίβληστρον*). 176. 180. 187 (*Ἀμφοτέρωθεν*, *Ἀμωσγέπως*). 36 (*Ἀμβάλλου*, in *C* unter den mit *Αβ* beginnenden Wörtern überliefert). 37. 59 (*Ἀμολγῷ*, *Ἁμός*, *Ἀμύξεις*). 152 (*Ἀμφιλαφές*, *Ἄμφις*).

Steph. 80, 20 M 1) *Ἁμάδοκοι· Σκυθικὸν ἔθνος· ἡ γῆ τούτων Ἁμαδοκία.*

Steph. 80, 22 2) *Ἀμαζόνιον· τόπος ἐν τῇ Ἀττικῇ, ἔνθα Θησεὺς τῶν Ἀμαζόνων ἐκράτησεν. ἔστι καὶ ἐν Βιθυνίᾳ Μαζαῖον, τὸ ἐθνικὸν Μα-*
Steph. 81, 4. 81, 19 *ζαιεύς, ὡς τὸ Μιδαιεύς καὶ Δορυλλαεύς. καὶ Ἀμαζόνες, ἔθνος γυναικεῖον. ἔστι καὶ Ἀμαζονία πόλις. λέγεται δὲ καὶ Ἀμαζών ἀρσενικῶς καὶ Ἀμαζονία καὶ τὸ οὐδέτερον διὰ τοῦ ῑ· καὶ Ἀμαζονίδης.*

---

1. *τὸ ᾱ μετὰ τοῦ μ̄* *D C* 3. *ἐν τῇ Βιθυνίᾳ* *D C* *μαζῶον* *D* 4. *μηδαεὺς* *F E* *μυδαεὺς* *D C* *δορυλλαὲς* *F* 6. *ἀμαζονῖδις* *C* *ἀμαζονίδες* *D*, hierzu

3) *Ἀμάθη· πόλις Φοινίκης· ἔστι καὶ Σικελίας. τὸ ἐθνικὸν ἀμφοτέρωθεν Ἀμαθαῖος.* Steph. 82, 8

4) *Ἀμαμασσός· πόλις Κύπρου, ἐν ᾗ τιμᾶται Ὑλάτης Ἀπόλλων. Ἀμαμάσσιος καὶ Ἀμαμασσεύς.* Steph. 82, 14

5) *Ἄμανον· ὄρος πρὸς τῇ Κιλικίᾳ· λέγεται δὲ οὕτως, ὅτι Ὀρέστης ἀπὸ Ταύρων σὺν Ἰφιγενείᾳ τὴν Ἄρτεμιν κομίσας τῆς μανίας λύσιν εὗρεν. Ἀμανίτης. Ἀμμανῖται δὲ οἱ ἀπὸ Ἀμμάνου τοῦ παιδὸς Λώτ.* Steph. 82, 16

6) *Ἀμαλλεῖον· νῦν δὲ οὐλόδετόν τινες, οἱ δὲ ὠρόδεσμον· τὸν ἐκ τῆς καλάμης στρεφόμενον δεσμόν.* Rhet. vgl. Eustath. 1162, 31

7) *Ἁμαμηλίδας· τὰς ἀπίους.* Rhet.

8) *Ἄμαξα· χώρα Βιθυνίας. Ἀμαξαῖος καὶ Ἀμαξίτης, τὸ κτητικὸν Ἀμαξικός.* Steph. 83, 3

9) *Ἀμαξάντεια· δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς· ὁ δημότης Ἀμαξαντεύς, τὸ τοπικὸν Ἀμαξαντιᾶθεν καὶ Ἀμαξαντιάνδε καὶ Ἀμαξαντιᾶσιν.* Steph. 83, 5

10) *Ἁμαρτάνειν τοῦ παντός καὶ παντός· τοῦτο συντάσσουσιν ἐπὶ τοῦ κατὰ πᾶν ἥμαρτεν ἢ παντὸς ἀπέτυχεν, οἷον „ἢ παντὸς ἁμαρτεῖν“* (Plat. Phaidr. 237 C) *καὶ πάλιν „Λυσίας τοῦ παντὸς ὅτι ἡμάρτηκεν“* (Phaidr. 235 E). Rhet.

11) *Ἀμαξία· πόλις Κιλικίας. Ἀμαξιεύς, ὡς τῆς Ἀμαντίας Ἀμαντιεύς.* Steph. 83, 8

12) *Ἀμαξιτός· πολίχνιον τῆς Τρῳάδος. Ἀμαξιτεύς καὶ Ἀμαξιτηνός.* Steph. 83, 10

13) *Ἀμάρυνθος· νῆσος Εὐβοίας· ἀπό τινος Ἀμαρύνθου. Ἀμαρύνθιος καὶ Ἀμαρύσιος, ὡς Τρικορύσιος.* Steph. 83, 17

14) *Ἀμάσσεια· πόλις Ποντική, ἀφ' ἧς Στράβων. Ἀμασσεύς ὁ πολίτης,* ⟨*ὡς αὐτὸς*⟩ *ὁ Στράβων, κατὰ δὲ Καπίτωνα Ἀμασεώτης· πειστέον δὲ Στράβωνι ὡς πολίτῃ.* Steph. 83, 21

15) *Ἄμαστρις· πόλις Παφλαγονίας, ἡ πρότερον Κρῶμνα. Ὅμηρος „Κρῶμνάν τ' Αἰγιαλόν τε“* (Il. 2, 855). *ἀπὸ γυναικὸς Περσίδος* Steph. 84, 3

ζήτει D^1 1. ἔστι fehlt *F* 3. Ἀμασσὸς *F* 4. ἀμάσσιος καὶ ἀμάσσιος zu ἀμασσεὺς καὶ ἀμάσσιος verbessert *F* 7. Ἀμανίτης (Ἀμμ. *E*) als neue Gl. *E F* ἀμανῖται δὲ ἀπὸ ἀμάνου *F* 9. Ἀμαλεῖον *E* 9. 10. τὸν αὐτῆς καλάμης *E* 10. Nach δεσμόν: ζήτει D^1 11. Vgl. Athen. XIV 650 C 13. ἀμαξαντικός Codd. 14. ἱπποθωνίτιδος Codd. 15. ἀμαξαντιόθεν Codd. ἀμαξαντίαν (ον) δε *F* ἀμαξαντίαν δὲ ὄνομα *E* ἀμαξαντίαν δέον *D C* 17. τοῦ παντὸς καὶ τοῦ παντὸς *F* 18. ἐπὶον τοῦ *F* 19. λ^υ *E* λύσιν *F* D^1 (λύσιν bis ἡμάρτηκεν in Rasur D^1) fehlt *C* 19. 20. ὅτι ἡμ. τοῦ παντὸς *C* 21. Ἀμάξεια Codd. ὡς τὸ ἀμαντιὰς Codd. 25. 26. Ἀμαρύνθιος] ἀμαρύνσιος *D* ἀμαρύσιος *C* 26. Nach Τρικ. D^1 ζήτει 27. ἀφ' ἧς Στρ. fehlt *D C* 28. ὁ Στράβων fehlt *F D C* ὁ πολίτης ἀμασσεὺς ὡς ἀντιόχεια ἀντιοχεὺς οὕτως στράβων *D C* ἀμασσεώτης *E D C* 31. περσίδος γυναικὸς *D C*

Ἀμάστριδος, θυγατρὸς Ὀξυάθρου τοῦ ἀδελφοῦ Δαρείου. Στράβων οὖν κλίνει Ἀμάστρεως, ἄλλοι Ἀμάστριδος. τὸ ἐθνικὸν Ἀμαστριανός, ὡς Κάλλατις Καλλάτιος Καλλατιανός καὶ Φᾶσις Φασιανός· τὰ γὰρ τοιαῦτα ἢ ἀπὸ τῶν εἰς οσ εὐθειῶν ὡς Βάκτριος Βακτριανός, ἢ ἀπὸ τῶν εἰς οσ γενικῶν, ὡς τοῦτο, ἢ ἀπὸ τῶν διὰ τοῦ ια θηλυκῶν, ὡς Ὀλβία Ὀλβιανός, Ἀσία Ἀσιανός. Ἀμαστριανή ἡ γῆ.

Steph. 84, 16 16) *Ἄμβαιον· μητρόπολις τῶν Φρυγῶν. ὁ πολίτης Ἀμβαιίτης.*

Steph. 84, 18 17) *Ἄμβλαδα· πόλις Πισιδίας· ὁ πολίτης Ἀμβλαδεύς· ὅθεν καὶ Ἀμβλαδεὺς οἶνος πρὸς διαίτας ἰατρικὰς ἐπιτήδειος.*

Steph. 84, 22 18) *Ἀμβρακία· πόλις Θεσπρωτίας· ἀπὸ Ἄμβρακος τοῦ παιδὸς Θεσπρωτοῦ. τὸ ἐθνικὸν Ἀμβρακιεὺς καὶ Ἀμβρακιώτης· Φίλιστος δὲ Ἀμβρακῖνος φησίν. εὕρηται καὶ διὰ τοῦ π ἀντὶ τοῦ β, ὅθεν καὶ τὸ Ἀμπρακιώτης ἀπὸ τῆς Ἄμπρακος γενικῆς ⟨καὶ⟩ Ἀμπρακία. τὰ γὰρ εἰς α θηλυκὰ ⟨καὶ εἰς ον⟩ οὐδέτερα διὰ τοῦ ωτησ ποιεῖ τὰ ἐθνικά, Σικελιώτης Πηλιώτης. λέγεται καὶ Ἀμβράκιος καὶ Ἀμβρακία ἡ γυνή. τὸ δ' Ἀμβρακία ἀπὸ τῆς Ἄμβρακος γενικῆς, οὐκ ἀπὸ τοῦ Ἀμβράκιος· ἦν γὰρ Ἀμβρακιακός.* Gudian. 64 Magn. Gl. 58 ‖ *τὰ διὰ τοῦ ιοσ κτητικὰ ἀπὸ πρωτοτύπου τοῦ εἰς οσ γινόμενα, εἰ μὲν μεταβάλλουσι τὸ τ εἰς σ, διὰ τοῦ ι γράφονται, οἷον ἀκήρατος ἀκηράσιος, ἄμβροτος ἀμβρόσιος· εἰ δὲ φυλάττουσι τὸ τ, διὰ τῆς ει διφθόγγου γράφονται, οἷον ἀρχέστατος ἀρχεστάτειος, Καλλίστρατος Καλλιστράτειος, χωρὶς εἰ μὴ ὦσιν ἐθνικά, ὡς τὸ Βοιωτός Βοιώτιος, Αἴγυπτος Αἰγύπτιος.*

Rhet. vgl. Eustath. 1280, 56 19) *Ἀμπυκῖται· διαδήματα· καὶ ἴσως διὰ τὸ ἀμπέχειν τὰς κόμας.*

Rhet. 20) *Ἀμέλει· ἔστι καὶ βεβαιωτικῶς εὑρεῖν κείμενον· συντάσσεται καὶ ὡς προστακτικὸν ῥῆμα.*

---

1. *μάστριδος C ὀξυάρθρου FE* 2. *ἄλλος FE ἄλλοι* zu *ἄλλως D ἄλλως C Ἀμάστριδος] ἀμάστρεως DC* ergänze *ἄλλοι Ἀμάστριος* 3. *Κάλλατις* fehlt *DC καὶ* fehlt *E φάσις φάσιος φασιανὸς DC* 4. *εἰς ιοσ EC* 5. 6. *ἢ ἀπὸ* bis *Ἀσιανός* ist in Steph. zu ergänzen. 5. *ὡς τοῦτο] Ἄμαστρις Ἀμάστριος Ἀμαστριανός DC* 6. *ἀμαστριανὶς ἡ γῆ E ἡ* fehlt *FDC* 7. *τῶν] τῆς F*, fehlt *E* 8. *πισσιδίας E ὁ πολίτης* fehlt *F ὁ πολ. Ἀμβλαδεύς* fehlt *E* 9. *ἀμβλαδὲς οἶνος C οἶμος E* 10. *Θεσπρωτείας* Codd. *ἀπὸ (ἐπὶ EC) ἄμβραδος FEC* 12. *ἀμβρακίνωνος F τὸ* fehlt *DC* 13. *ἀπὸ δὲ τῆς DC τοῦ* (aus *τῆς*) *ἄμπρακος F.* Richtiger *καὶ Ἀμπρακία ἀπὸ τῆς Ἄμπρ. γ.* 14. *ἐθνικά] θηλυκὰ E ἀρσενικὰ F* 15. *οἷον σικελιώτης DC πηλουσιώτης E*, hiernach *Ἀμβρακιώτης (Ἀμπρ. D*[1]*)* eingeschoben *DC* 16. *τῆς Ἄμβρακος γενικῆς] τοῦ ἄμβρα γέγονεν* Codd. 17. *ἦν γὰρ ἀμβρακικός D*[1] *ιοσ] ειοσ* Codd. 18. *τοῦ* vor *εἰς* fehlt *E*, *τὰ C* 17. 18. *πρωτοτύπων τῶν D*[1] 18. *εἰς οσ] εἰς τοσ* oder *στοσ* Codd. 19. *οἷον* in *E* weggerissen, fehlt *DC*, zugefügt von *D*[1] 20. *γράφονται* fehlt *EDC* 20. 21. *ἀρχέστρατος ἀρχεστράτειος C* 22. *ὡς τὸ EFD*[1] *οἷον C βοιωτὸν E* Zugefügt ὁ (N) *οὗτος ὁ κανὼν τοῦ ἀμβρόσιος ἐστὶ καὶ ὄφειλε γραφῆναι ἐκεῖ. ζήτει οὖν ἔμπροσθεν D*[1] 23. *ἴσως καὶ* Codd. 24. Nach *κόμας*: *ἄμπυξ δὲ καὶ εἶδος χαλινοῦ ὅθεν καὶ τὸ χρυσάμπυκας DC* 25. 26. *συντ. καὶ ῥῆμα προστακτικόν DC*, *ζήτει* fügt *D*[1] zu.

21) *Ἀμελεῖς τούτων καὶ περὶ τούτων, οἷον „ἀμελεῖς [περὶ τούτων], περὶ ὧν ἐλήλυθα“.* Rhet.

22) *Ἀμέριον· πόλις Ἰταλίας, ὡς Ῥήγιον. τὸ ἐθνικὸν Ἀμερῖνος.* Steph. 85, 12

23) *Ἄμιλος· πόλις Ἀρκαδίας. Ἀμίλιος· καὶ γὰρ Στυμφάλιος Μαινάλιος παρ' αὐτοῖς.* Steph. 85, 18

24) *⟨Ἀμισός· πόλις ἀξιόλογος⟩ διέχουσα Σινώπης σταδίους ἐννακοσίους. Ἀμισηνός· λέγεται καὶ Ἀμίσιος.* Steph. 85, 22

25) *Ἀμήστρατος· πόλις Σικελίας. τὸ ἐθνικὸν Ἀμηστρατῖνος.* Steph. 85, 14

26) *Ἀμμωνία· ἡ μεσόγειος ἐν Λιβύῃ· ἀπὸ Ἄμμωνος. ὁ οἰκήτωρ Ἀμμώνιος· ταῦτα δὲ διὰ τοῦ ῑ, τὸ δὲ Ἀμμώνειον διὰ διφθόγγου ὡς Δημητριεῖον καὶ Ἀπολλωνιεῖον.* Steph. 86, 1

27) *Ἀμνισός· ποταμὸς Κρήτης· αἱ τούτου νύμφαι Ἀμνισιάδες καὶ Ἀμνισίδες.* Steph. 86, 5

28) *Ἀμοργός· νῆσος μία τῶν Κυκλάδων ἔχουσα πόλεις τρεῖς, Ἀρκεσίνην, Μινῴην, Αἰγιάλην. λέγεται Ἀμοργῖνος ὡς Ἐρυκῖνος. λέγεται καὶ Ἀμόργιος· τὸ δὲ Ἀμόργινος χιτὼν χρώματος ἴδιον.* Steph. 86, 9

29) *Ἀμώριον· πόλις τῆς μεγάλης Φρυγίας. Ἀμωριεύς, ὡς Κοτιαεύς, Δορυλλαεύς.* Steph. 86, 16

30) *Ἄμος· πόλις Καρίας. Ἄμιος ὡς Σάμιος, Καύνιος. οὕτω Χάραξ.* Steph. 87, 1

31) *Ἄμπελος· πόλις Λιγυστικῆς καὶ Εὐρώπης καὶ ἄκρα Σάμου καὶ Κυρήνης. ὁ πολίτης Ἀμπελῖνος ὡς Ἀσωρῖνος Ἀμβακαινῖνος.* Steph. 87, 3

32) *Ἀμύκλαι· πόλις Λακωνική, ἣν Ἀμύκλας ὁ Λακεδαίμονος υἱὸς ἔκτισε· κλίνεται καὶ Ἀμύκλα τὸ ὄνομα τοῦ κτίσαντος καὶ Ἀμύκλαντος. τὸ ἐθνικὸν Ἀμυκλαῖος, Ἀμυκλαία καὶ Ἀμυκλαΐς, καὶ Ἀμυκλαΐτης.* Steph. 87, 16

33) *Ἀμνισός· τὰ εἰς σσ τρισύλλαβα ἐπὶ ποταμῶν ὀξύτονα, εἰ μὲν καθαρά, διὰ τῆς ει διφθόγγου γράφεται, Ἀλφειός, Πηνειός, Σπερχειός· εἰ δὲ μὴ καθαρά, διὰ τοῦ ῑ, Ἀμνισός, Κηφισός, Ἰλισ-* Orthogr.

2. zweites *περὶ* fehlt *C* *ἐλήλυθας D C* 3. *τὸ ἐθνικὸν ἀμιστρατινὸς* (aus der bei Steph. folgenden Gl.) und hierüber *ἀμερῖνος F* *ἀμερῖνος ἀμιστρατινὸς E* 4. *καὶ γὰρ*] *ὡς E D C* 5. *παρ' αὐτοῖς*] *παρὰ αὐ*^{τ} *D* *παρὰ αὐτὸν C* *ἀπὸ αὐτῶν F* 6. *διήκουσα D C* *διγώπης C* 7. *Ἀμισηνὸς λέγ. κ. Ἀμίσιος F E* nach Gl. 25 als eigene Gl., ebenso, doch mit Lemma *Ἀμισός*, *D C* 8. *Ἀμίστρατος* und *ἀμιστρατῖνος E D C* 10. *τὸ δὲ ἀμμωνιεῖος D C* vgl. Steph. *διὰ διφθόγγου* fehlt *C* 12. *Ἀμνισσός F* 13. Nach *Ἀμνισίδες* fügen *D C* Gl. 33 ein. 15. *μινέην E D C* *ὑγιάλην* Codd. *λέγεται δὲ ἀμοργῖνος D C* 16. Nach *ἴδιον*: *παρὰ τὴν ἀμόργην ὁμοίαν οὔσῃ* (so) *βύσσῃ D C* 17. 18. *κοτυβεὺς F E* *κοτυαεὺς D C* vgl. Meineke. 19. *χαύνιος D C* *οὕτω Χάρ.* ist im Steph. zu ergänzen. 21. *λιστικῆς* Codd. Sym. las im Steph. *Ἑκαταῖος ἐν Εὐρώπῃ* 22. *κυλλήνης F* *ἀμβλακαινῖνος C* 23. Lemma *Ἀμύκλ*^{α} *F E* *Ἀμύκλαια D C* 25. *ἀμυκλαΐς F* *-κλαὴς E D C* 26. *ἀμυκλάϊτος* Codd. 27—265, 4. *D C* nach Gl. 27. 27. *τὰ εἰ οσ D C* verb. D^1 *ποταμοῦ F* 28. *γράφεται* fehlt *E D C* *οἷον ἀλφειὸς D C* 28. 29. *σπερχειὸς πηνειὸς E D C* 29. *ἀμνισσὸς κηφισσὸς F* *οἷον ἀμνισὸς D*

σός. πρόσκειται ὀξύτονα διὰ τὸ Μήνιος. τὸ δὲ Δαρδανειός· ἐστὶ ⟨δὲ⟩ ὄνομα ποταμοῦ· εἰ καὶ ὑπὲρ τρεῖς συλλαβάς ἐστιν, ἀλλ' οὖν ὀξυνόμενον ἠκολούθησε τῷ Ἀλφειός. πρόσκειται τρισύλλαβα διὰ τὸ Σαγγάριος.

Rhet. (Bekk. An. Gr. 205, 5) 34) Ἅμιππος· σημαίνει τὸν δύο ἔχοντα συνεζευγμένους ἵππους ἱμᾶσι χωρὶς ζυγοῦ καὶ τὸν μὲν ἡνιοχοῦντα τὸν δὲ μαχόμενον.

Rhet. 35) Ἀμνημονῶ τούτου καὶ ταῦτα, οἷον „οὐδ' ἀμνημονεῖ τοὺς λόγους οὐδὲ τὰς ὑποσχέσεις“ (Dem. Phil. 2, 12).

Orthogr. 36) Ἀμοθεί· τὰ εἰς πτι διὰ τοῦ ι, ἀστρεπτί· καὶ τὰ εἰς κτι, ἀσκαρδαμυκτί, πλὴν τοῦ ἀκηρυκτεί· καὶ τὰ εἰς στι, νεωστί ἀπὸ τοῦ νεάζω, μεγαλωστί ἀπὸ τοῦ μεγαλίζω· τὰ δὲ εἰς τι λήγοντα ἐπιρρήματα ἅπαντα διὰ τοῦ ι γράφεται οἷον ἀναιμωτί, ἀνωϊστί, ἀπαρτί, ἱερωστί, δίκην ἱερέως, ἀλογιστί, ἀφοριστί, ποδιστί, ἀμυστί· καὶ τὰ ἔχοντα τὸ β γ κ ν διὰ τοῦ ι, ἀβλαβί, ἄνευ βλάβης, ἀπατταγί, ἀρυτί, πανοικί, νηποινί, [νωνυμί, ἀντὶ τοῦ ἀνωνύμως], σεσημείωται τὸ πανθοινεί. τὰ δὲ καθαρὰ ἢ ἔχοντα ⟨τὸ⟩ δ θ λ μ ξ ρ χ διὰ διφθόγγου γράφεται, ἀσπονδεί, ἀσπουδεί (σεσημείωται τὸ προβληδί), ἀμοθεί, ἀμοχθεί (σεσημείωται τὸ ἀμισθί), ἀσυλεί, ἀδμωλεί, πανομιλεί, ἀναυλεί (τοιοῦτον καὶ τὸ ἀμέλει), νηνεμεί, ἀτρεμεί, ἠρεμεί, ἀναιμεί, πανδημεί, αὐτολεξεί, ἀμερεί, ἀμερμηρεί (σεσημείωται τὸ αὐτοχειρί διὰ τοῦ ι), ἀμαχεί, παμμαχεί, τριστοιχεί. τὸ πρωΐ οὐκ ἐναντιοῦται. ἀκαρῆ „ἐν ἀκαρεῖ χρόνῳ“ (Ar. Plut. 244), ἀωρί δέ.

Gudian. 150 vgl. Magn. 86, 44 37) Ἀμπεπαλών· μετοχὴ δευτέρου ἀορίστου. οἱ γὰρ Ἴωνες ἐν τοῖς ῥήμασιν καὶ ταῖς μετοχαῖς εἰώθασιν ἀναδιπλασιάζειν, λάχωσι, λελάχωσι, λάθῃ „λελάθῃ δ' ὀδυνάων“ (Il. 15, 60).

---

1. τὸ μινυὸς *F* δαρδάνιος *F E C D*[1] δαρδάνειος *D* ἐστὶ fehlt *D C* 2. εἰ fehlt *C* ὑπὲρ τρισυλλ^α *E* ὑπὲρ τριῶν συλλαβῶν *F* 6. χωρὶς von *C*[2] ergänzt. 7. ἀμνημονεῖται *E D C* ἀμνημονεῖτε *F* τῶν λόγων *D*[1] 9. Ἀμοθεί fehlt *F E*, vielleicht richtig. οἷον ἀστρεπτὶ *D C* Var. ἀστρεπτίον *E* 10. ἀσκαρδαμύκτιον *E* καὶ τὰ εἰς στι fehlt *F E*, vielleicht richtig. 11. μεγαληστὶ *E D C* Var. verb. *D*[2] τὰ δὲ] καὶ τὰ *E D C* Var. 12. ἀναιμωστί Var. ἀπαρτί] ἀπαρὶ Codd. fehlt Var. 13. ποδιστί vgl. An. Ox. II 313, 28. Nach ἀμυστί eingeschoben ἀμισθὶ *F* 14. κ μ ν *D*[1] *C* Var. ἀπαταγὶ *D C* ἀποταγί Var. 15. ἀρρυτὶ *F C* ἀρυττὶ *E D* fehlt Var. Nach πανοικὶ eingeschoben εὐδοκὶ *E D C* Var. νηποινί] ποινὶ Var. 16. ἢ fehlt *E* 17. γράφεται fehlt *E* σπονδεὶ σπουδεὶ Var. προβληδί] προκλητὶ *F D C* (hiernach καὶ ἀμισθὶ *F*) προκλημ^το *E* σεσημ. bis προβληδί fehlt Var. 18. σεσημ. τὸ ἀμισθὶ fehlt *F* 19. ἀναολεὶ *C* Var. νηνεμεὶ ἀτρεμεὶ ἠρεμεὶ *D*[1] am Rand nach πανδημεί, ebenso *C* im Text und Var. 20. ἀμαιρεὶ *F* ἀμετρεὶ *E* σεσημείωται τὸ fehlt *F*, der ἀμερμηρεί nach διὰ τοῦ ι stellt. διὰ τοῦ ι fehlt *D C* Var. 22. ἀκαρῆ] ἀκαρεὶ *E D C* Var. ἐν ἀκ. χρ. fehlt *E D C* Var. χρόνῳ] καρί *F* (aus Glossem καιρῷ entstanden). ἀωρὶ δὲ ἰῶτα (δὲ διὰ τοῦ ἰῶτα Var.). τὸ τριχῆ τετραχῆ καὶ διπλῆ τετραπλῆ τριπλῆ καὶ ἑκασταχῆ καὶ πανταχῆ καὶ ἄλλῃ καὶ πάντῃ διὰ τοῦ η *D C* Var. 25. λάθῃ λελάθῃ οἷον λελάθῃ δ' ὀδυνάων παλὼν πεπαλὼν καὶ ἀμπεπαλών· ὅμηρος ἢ ῥα καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος *D C* Var. vgl. Et. m. 86, 45. Hierzu

38) Ἀμύνειν καὶ ἀμύνεσθαι· ἀμύνειν ἐστὶ τὸ βοηθεῖν, ἀμύνεσθαι δὲ τὸ προηδικηκότας κολάσαι. καὶ πάλιν ἀμῦναι καὶ ἐπαμῦναι διαφέρει, ὅτι τὸ μὲν ἀμῦναι τὸ ἀμείψασθαι τοὺς ἠδικηκότας, τὸ δὲ ἐπαμῦναι τὸ βοηθῆσαι. „ἀλλ' ἐπάμυνον“ (Il. 5, 685). Gudian. 170 Gudian. 169

39) Ἀμύνειν τὸν πολέμιον καὶ ἀμύνειν τῷδε, ὡς βοηθεῖν τῷδε, ἐπικουρεῖν τῷδε. Rhetor.

40) Ἄμυρος· πόλις Θεσσαλίας, ἀπὸ ἑνὸς τῶν Ἀργοναυτῶν. ἡ πόλις θηλυκῶς. Ἀμυρεύς, ὡς Κάμειρος Καμειρεύς, τὸ κτητικὸν Ἀμυρήϊος, καὶ Ἀμυρηΐς τὸ θηλυκόν. Steph. 88, 10

41) Ἀμφαναί· πόλις Δωρική. Ἀμφαναῖος καὶ Ἀμφαναιεύς. Steph. 89, 4

42) Ἄμφεια· πόλις Μεσσήνης, τὸ ἐθνικὸν Ἀμφειεύς, ὡς τὸ Ἡραιεύς. Steph. 89, 10

43) Ἀμφιγένεια· πόλις Μεσσηνιακή· ἔχει δὲ ἡ πόλις καὶ Λητοῦς ἱερόν. Ἀμφιγενειάτης καὶ Ἀμφιγενεύς. Steph. 89, 12

44) Ἀμφίδολοι· πόλις τῆς [Θεσσαλίας] Τριφυλίας καὶ οἱ πολῖται ὁμοίως, ὡς Θούριοι καὶ Θαύμακοι καὶ Λεοντῖνοι καὶ Δελφοί. Steph. 89, 19

45) Ἀμφίκαια· πόλις Φωκίδος. ὁ πολίτης Ἀμφικαιεύς. Steph. 90, 3

46) Ἀμφίλοχοι· πόλις Ἀκαρνανίας οἱ καὶ Ἀμφιλοχικὸν Ἄργος κληθέντες ἀπὸ Ἀμφιλόχου τοῦ Ἀμφιαράου. καὶ Ἀμφιλοχία ἡ χώρα. οἱ πολῖται Ἀμφίλοχοι. Steph. 90, 5

47) Ἀμφιγυήεις· ἐστὶ γυῖον καὶ σημαίνει τὸ μέλος, καὶ ἐξ αὐτοῦ γυόεις, τροπῇ τοῦ ο̄ εἰς η̄ γυήεις καὶ ἀμφιγυήεις.

48) Ἀμφέχυτο· παρὰ τὴν ἀμφί πρόθεσιν καὶ τὸ χύω ῥῆμα, τὸ παράγωγον χῦμι χῦμαι ἐχύμην ἔχυσο ἔχυτο καὶ ἀμφέχυτο.

49) Ἀμφιετηρίς· ἡ κατ' ἔτος γινομένη ἑορτὴ καὶ θυσία. Rhet.

50) Ἀμφήριστον· ἀμφίβολον, ἄνισον. ἐρίζω, ἤρισμαι ἤρισται. Gudian. 179 vgl. Magn. 89, 22

D[1] ἀντὶ τοῦ ἀνασείσας κινήσας und ungewifs zu welchem Wort τὸ θέμα ἀναπάλλω 1. ἀμύνειν δὲ τὸ βοηθεῖν *E* Nach βοηθεῖν: καὶ συντάσσεται δοτικῇ *D C* 2. κολᾶσθαι *E* Nach κολάσαι: αἰτιατικῇ οἷον (zugefügt *C*[1]) κυκλώσαντες ἐκύκλωσάν (-σέ *C*) με καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς *D C* 4. ἀντὶ τοῦ βοηθῆσαι *F* Nach βοηθῆσαι: οἷον πρόφρων πρόφρων δαναοῖσι ποσειδάων ἐπάμυνον (aus Et. m. Gl. 38) ἀμύνειν τὸν πόλεμον u. s. w. *D C* 5. ὡς] ἤγουν *D C* 6. Nach ἐπικ. τῷδε: ζήτει *D*[1] 8. Ἀμυρεὺς *D C* ἀμιρεὺς *E* (?) ἀμυρὸς *F* καμειρὸς καμειρεὺς (ει aus υ) *F* καμιρὸς καμιρεὺς *E D C* 10. ἀλφαναῖος *F* aus ἀλφανεὺς Nach Ἀμφαναιεὺς: ἀμφαιὰ *E* 11. μεσήνης Codd. immer. τὸ ἐθνικὸν fehlt *D* ἀμφιεὺς aus ἀμφειεὺς *C* τὸ nach ὡς fehlt *D C* 13. ἔχει δὲ ἡ πόλις καὶ] ἐν ᾗ *D C* 14. ἀμφιγεν^ευς *F E D* ἀμφιγεναιεὺς *C* 15. τῆς fehlt *E D C* τρυφαλείας Codd. 16. ὁμοίως fehlt *D C* ὡς fehlt *E* καὶ ἀδελφοὶ *F E* 17. Gl. fehlt *E* 18. ἀκαρνίας *E D C* 19. ὑπὸ ἀμφιλόχου *F E* καὶ fehlt *D C* 20. Nach Ἀμφίλοχοι: ζήτει καὶ ἔμπροσθεν *D*[1] 21. Ἀμφιγυήεις fehlt *E* Ἀμφ. ὁ ἥφαιστος *D C* γυὸν *D C* γύον ἐστὶ *F* ἔστι δὲ γυῖον *E* σημαίνει δὲ *E* τὸ δηλοῦν τὸ μέλος *D C* καὶ vor ἐξ fehlt *E D C* 22. γυιόεις und γυιήεις *E* Nach γυήεις: ὡς θεοτόκος θεητόκος *D C* 23. ἀπὸ τῆς ἀμφὶ προθέσεως καὶ τοῦ χύω ῥήματος *D C* Var. χύω] χῶ *E* 25. Ἀμφιετηρὴς *F D C* γενομένη *F* 26. ἢ ἀμφίβολον ἢ ἄνισον *F* ἤρισμαι ἤρισαι ἤρισται *D C*, hiernach καὶ ἐξ αὐτοῦ ἀμφήριστον ἀμφίλογον ἢ ἔπισον *D*[1]

Steph. 90, 12 51) *Ἀμφίπολις· πόλις Μακεδονίας κατὰ Θρᾴκην. τὸ ἐθνικὸν Ἀμφιπολίτης.*

Steph. 90, 19 52) *Ἄμφισσα· πόλις Ὀζολῶν Λοκρῶν· ἐκλήθη δὲ διὰ τὸ ἐμπεριέχεσθαι τοῖς ὄρεσι τοῖς παρακειμένοις· παραγώγως δὲ ὡς ἐκ τῆς ἀντί Ἄντισσα καὶ τῆς ἐπί ἔπισσα, οὕτως ἀμφί Ἄμφισσα. Ἀμφισσαῖος καὶ Ἀμφισσεύς. τὸ ἐκ τόπου Ἀμφισσῆθεν. ἔστι καὶ χώρα Ἀρμενίας Ἀμφισσήνη.*

Steph. 91, 3 53) *Ἀμφιτροπή· δῆμος τῆς Ἀντιοχίδος φυλῆς. ὁ δημότης Ἀμφιτροπαιεύς. τὰ τοπικὰ Ἀμφιτροπῆθεν ⟨ἐκ τόπου⟩, Ἀμφιτροπήνδε εἰς τόπον καὶ Ἀμφιτρόπησιν ἐν τόπῳ. δοκεῖ δὲ τὸ Ἀμφιτροπαιεύς ἐξ ἄλλου εἶναι τοῦ Ἀμφιτροπαῖος. τὰ γὰρ εἰς $\overline{\text{ευσ}}$ ἀπὸ τῶν εἰς $\bar{\eta}$ θηλυκῶν ἰσοσυλλαβεῖ τοῖς πρωτοτύποις.*

Rhet. (vgl. Eustath. 1384, 64) 54) *Ἀμφιετιζομένας· τὰς κατ' ἔτος περιερχομένας.*

Rhet. 55) *Ἀμφότεροι· τοῦτο οὐκ ἐπὶ δυοῖν μόνον λέγεται ἀνδρῶν ἢ τόπων ἢ χρόνων, ἀλλὰ καὶ ἐπὶ διττοῦ πλήθους. Ὅμηρος „ἀμφότεροι μέμασαν“* (Il. 7, 3) *καὶ Δημοσθένης „ἀμφότεροί ⟨μοι δοκοῦσιν⟩ ἁμαρτάνειν καὶ οἱ τοῖς Ἀρκάσι καὶ οἱ τοῖς Λακεδαιμονίοις συνειρηκότες“* (XVI 8). *παρατηρητέον δὲ ὅτι καὶ οὕτω λέγεται „ἀμφότεροι ὅ τε Φίλιππος καὶ οἱ Ἀθηναῖοι“. τὸ γὰρ οἱ Ἀθηναῖοι ὡς ἕν τι ἀριθμεῖται διὰ τὸ ἓν πλῆθος εἶναι.*

Rhet. 56) *Ἀμφισβητεῖ περὶ τοῦδε καὶ τόδε. Πλάτων „ἡ τῶν ἀμφισβητησάντων περὶ αὐτὴν θεῶν κρίσις“* (Menex. 237 C). *καὶ τὸ ἀμφισβητήσιμος δὲ καὶ θηλυκῷ ἄρθρῳ συντάσσεται, οἷον „ἡ μὲν γὰρ ἐμὴ φαύλη τις ἂν εἴη καὶ ἀμφισβητήσιμος“* (Symp. 175 E).

Rhet. 57) *Ἀμφιμάσχαλος χιτών· δύο χειρῖδας ἔχων, ὃς ἦν τῶν ἐλευθέρων, ὁ δὲ τῶν οἰκετῶν μίαν εἶχε καὶ διὰ τοῦτο ἑτερομάσχαλος ἐκαλεῖτο.*

Gudian. 210 vgl. Magn. 93, 45 58) *Ἀμφιρρόπους· ἐπ' ἀδήλου ἔτι κειμένου τοῦ τέλους, ἀμφοτέρωθεν κλινούσας. ἀπὸ τοῦ ῥέπω.*

Gudian. 385, 13 vgl. Magn. 575, 47 59) *Ἀμφιμέλαινα· ἐκ τοῦ μέλας μέλαντος. τὰ εἰς $\overline{\text{ασ}}$ ὀνόματα περιττοσυλλάβως κλινόμενα τριγενῆ διὰ τοῦ $\overline{\text{ντ}}$ κλίνονται. οἷον μέλας μέλαντος· „μελάντερον ἠΰτε πίσσα“* (Il. 4, 277). *ἡ δὲ σύνθεσις ἐπε-*

---

1. *πόλις* fehlt *C* 2. Nach *Ἀμφιπολίτης* am Rand: *εὗρον οὕτως· ἀμφίπολις πόλις θράκης ἥτις ἑκατέρου πρότερον ἔναοδοι διὰ τὸ παρέχεσθαι καὶ περιοδεύεσθαι ὑπὸ [στρυμ]ον[ος] πο[ταμοῦ] μεθόδιος D*[1]. 4. *τοῖς παρακειμένοις ὄρεσι D C ὡς ἐκ] ἢ ἐκ E* 5. *οὕτως ἐκ τῆς ἀμφὶ D C* 8. *Ἀμφίτροπος* Codd. 9. *τὰ τοπικὰ δὲ D C* 12. *ἰσοσυλλαβεῖ γὰρ τοῖς C* 14. *μόνων* Codd. 15. *χρόνων*] *χ* mit übergeschr. *ῶ* *F* 16. 17. *δῆμος ἀμφοτ ἀμαρτ E D C λακεδαίμοσι* Codd. 18. *καὶ* fehlt *F* 20. Nach *εἶναι*: *ζήτει D*[1] 21. *πλάτων περὶ δὲ τῶν ἀμφ. E* 23. *δὲ* fehlt *E* *οἷον εἰ μὲν C* 26. *καὶ διὰ τοῦ τέλους τοῦτο E* (aus Gl. 58) 28. *ἀδήλου οὕτω κειμένας ἔτι τοῦ τέλους E κειμένας* auch *F D C* 29. *παρὰ τὸ ῥέπω D C*, hiernach *ζήτει D*[1] 32. *ἡ δὲ σύνθετ E τὰ δὲ σύνθετα D C* Var. *συνήθεια* Kaibel 32. 269, 1. *ἐκράτησε C* (nicht Var.)

κράτησε διὰ μόνου τοῦ ῡ. πρόσκειται τὸ περιττοσυλλάβως διὰ τὸ Μέγας Μέγα καὶ λάας λάα. τὸ λαι δίφθογγον διὰ τί; τὰ διὰ τοῦ αινα θηλυκὰ ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα διὰ τῆς αι διφθόγγου γράφονται, οἷον μέλαινα, θεράπαινα, λέαινα, δράκαινα. vgl. Et. m. 577, 3 Μελαίνας· σημαίνει τρία· τὸ συνετόν· „μένεος δὲ ⟨μέγα⟩ φρένες ἀμφιμέλαιναι“ (Il. 1, 103), τὸ βαθύ· „ὥς τε κρήνη μελάνυδρος“ (Il. 9, 14) καὶ τὸ σκοτεινόν· „ἕλκον νύκτα μέλαιναν“ (Il. 8, 486).

60) Ἀμφρυσσός· πόλις Φωκίδος. τινὲς δὲ διὰ τοῦ β̄. τὸ ἐθνικὸν Ἀμφρύσσιος, ὡς Λυκόφρων „Ἀμφρύσσιον [δὲ] σκηπτοῦχον“ (V. 900). Steph. 91, 9

61) Ἅμα· τὸ ἐπίρρημα, παρὰ τὸ θαμά, ἐστὶ συνεχῶς, κατὰ ἀποβολὴν τοῦ θ ἅμα. τὸ γὰρ πυκνῶς γινόμενον κατὰ τὸν αὐτὸν ἀποτελεῖται χρόνον. τὸ δὲ θαμά γέγονεν οὕτως. ἐστὶ θαμός, ἐξ οὗ τὸ θαμειός, ὡς ἀδελφός ἀδελφειός, καὶ τὸ θηλυκὸν θαμειά, καὶ τὸ οὐδέτερον θαμόν, ἡ εὐθεῖα τῶν πληθυντικῶν θαμά, καὶ τὸ ἐπίρρημα θαμά. οὐ γὰρ ἀπὸ τοῦ θαμύς θαμειός, ἀφ' οὗ τὸ „θαμέες γὰρ ἄκοντες“ (Il. 11, 552). Genuin. 1

62) Ἄμαθος· ἡ ψάμμος. παρὰ τὸ ψάμαθος γίνεται ἀποβολῇ τοῦ ψ̄. ἢ ἄμυθός τις οὖσα, τουτέστιν ἡ ἀνεπίγνωστος, ἣν οὐκ ἔστιν ἀριθμῆσαι. Genuin. 3

63) Ἀμαιμακέτην· ⟨ἀμαιμάκετος⟩ ὁ μακρός· οἷον „ἱστὸν ἀμαιμάκετον“ (Od. 14, 311). παρὰ τὸ μῆκος μάκετος καὶ ἐν διπλασιασμῷ μαμάκετος καὶ πλεονασμῷ τοῦ ῑ καὶ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ ἀμαιμάκετος, ὁ μακρὸς καὶ ὑπερφυής· τὸ δὲ „πνείουσαν ἀμαιμάκετον πῦρ“ (Hes. Th. 319) παρὰ τὸ μαιμῶ μαίμακα, ὃ καὶ μαιμάω φησὶν Ὅμηρος· „ὡς δ' ἀναμαιμάει“ (Il. 20, 490). Genuin. 4

64) Ἀμαιμακέτην· ἄμαχον, ἀκαταγώνιστον, φοβεράν. παρὰ τὸ Genuin. 5

---

1. πρόσκειται δα/ τὸ π. C τὸ vor περ. fehlt E D 2. λάας] ἆλς E λάα. μέλαινα τὸ λαι E διὰ τί fehlt D C Var. 4. γράφονται fehlt E γράφεται Var. δράκαινα fehlt E 4. 5. μέλαινα σημαίνει E D C Var. 5. τὸ συνετὰς E τὰς συνετὰς F 6. καὶ τὸ βαθὺ E ὥστε F E ὡς τὸ D C Var. 7. τὴν σκοτεινὴν F E ἕλκων Codd. Var. 9. ἐθν. ἀμφρυσσιεύς C 11. τὸ vor ἐπίρρ. fehlt D C (vgl. Gen. A) ἐστὶ] ὅ ἐστι D C (vgl. θαυμαστὸ A) 11. 12. καὶ ἀποβολῇ D C 12. τὸ πυκνῶς γὰρ D C τὸ γὰρ ἀλλεπαλλήλως καὶ πυκνῶς γινόμενον ἅμα καὶ κατὰ D[1] γενόμενον F κατὰ fehlt F 13. ἔστι τὸ θαμός E ἐστὶ θαμά C 13. 14. ἐξ οὗ καὶ τὸ E 14. καὶ vor τὸ οὐδέτερον ausradiert D[1] (?) 17. Nach ἄκοντες: εὗρον οὕτως οὐ γὰρ ἂν δξυ/ θαμειός. οὕτω μεθόδιος D[1] 18. κατὰ ἀποβολὴν E 19. τουτέστιν fehlt D C zugefügt D[1] 20. ἀριθμήσασθαι D C (wie B) καὶ καταμαθεῖν zugefügt D[1] 21. Ἀμαιμακέτην F D (das Lemma fehlt Genuin. B) Ἀμαιμάκετον ὁ μ. E Ἀμαιμακέτης (Ἀμαιμάκετος D[1]) ὁ μακρὸς καὶ ὑπερφυής D[1] C ὁ μακρός fehlt F οἷον] ὅμηρος D[1] ἱστὸν ἀμαιμακέτην F D C (hiernach τὴν μακρὰν F) verb. D[1] 25. φησὶν Ὅμηρος] φασὶν D C ὡς δ' ἀναμαιμάει fehlt F 27. ἢ ἀμαιμακέτην ἄμαχον E ἀκατάγνωστον D C (verb. D[1])

μαιμάω μαιμάκετον, ἐξ οὗ τὸ θηλυκὸν ἀμαιμακέτην, οἷον „πρῶτα μέν ῥα Χίμαιραν ἀμαιμακέτην“ (Il. 6, 184). ἢ παρὰ τὸ μάχη ἀμαιμάχετος καὶ ἀμαιμάκετος.

Genuin. 6 65) Ἀμαλδῦναι· κυρίως μὲν τὸ διὰ πυρὸς ἀφανίσαι. παρὰ τὸ μαίρω, τὸ λάμπω, ὁ μέλλων μαρῶ, ἀφ' οὗ τὸ μαραίνω, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀμαρῶ, καὶ τροπῇ τοῦ ρ̄ εἰς λ̄ ἀμαλῶ, καὶ κατὰ παραγωγὴν ἀμαλύνω, καὶ πλεονασμῷ τοῦ δ̄ ἀμαλδύνω. ἢ τὸ ἁπλῶς ἀφανίσαι ἢ τὸ ὁμαλίσαι, οἷον „τεῖχος ἀμαλδῦναι“ (Il. 12, 18). παρὰ τὴν ἄμμον, οἷον ἄμμος ἀμῶ ὡς δοῦλος δουλῶ καὶ φίλος φιλῶ, παράγωγον ἀμύνω, καὶ πλεονασμῷ τῆς α̅λ̅ συλλαβῆς καὶ τοῦ δ̄ ἀμαλδύνω. οὕτως Ὠρίων, ὁ δὲ Μεθόδιος παρὰ τὸ ὁμαλός ὁμαλύνω, ὡς κακός κακῶ κακύνω, καὶ ἐπενθέσει τοῦ δ̄ καὶ τροπῇ τοῦ ο̄ εἰς ᾱ ἀμαλδύνω.

Genuin. 7 66) Ἀμαλλοδέται· οἱ τὰς ἀμάλλας δεσμοῦντες. ἄμαλλα δὲ ἡ ἐκ πολλῶν δραγμάτων συναγωγή.

Genuin. 9 67) Ἀμάλθεια· ἡ τροφὸς τοῦ Διός. φασὶ πεπλάσθαι αὐτό. εἶναι γὰρ αὐτὸ ἀμαλακιστείαν παρὰ τὸ μὴ μαλάσσεσθαι. διὰ τοῦτο καὶ τὸν Ἡρακλέα καρτερικώτατον γενόμενον ἔχειν αὐτῆς τὸ κέρας ἐμυθολόγησαν.

Genuin. 10 68) Ἀμαμαξύς· ἡ ἀναδενδράς. παρὰ τὸ ἀμμίξαι· ἡ συνδεδεμένη· ἀναδεσμοῦνται γὰρ αἱ ἀναδενδράδες· ἀμμιξύς, καὶ ἐν πλεονασμῷ καὶ τροπῇ ἀμαμαξύς. Ἐπίχαρμος „οὐδ' ἀμαμαξύας φέρει“, Σαπφὼ δὲ διὰ τοῦ δ̄ ἀμαμαξύδες.

Genuin. 11 69) Ἀμάρα· ὁ ὀχετός. παρὰ τὸ ἅμα ῥεῖν τὸ ὕδωρ. ἢ ὅτι τὰ φυόμενα πλησίον οὐκ ἐᾷ μαραίνεσθαι. ἢ διὰ τὸ περὶ τὰς αἱμασιὰς ῥεῖν.

Genuin. 13 70) Ἁμαρτία· κυρίως ἡ ἀποτυχία. παρὰ τὸ μάρπτω ἀμαρπτία

---

1. μαιμάκετος D^1 ἀμαιμακέτη F οὗ ἀμαιμακέτην τὸ θηλυκὸν DC οἷον] ὃν F 2. ἀμάχετος DC 3. ζήτει zugefügt D^1 4. Ἀμαλδῦναι· κακοποιῆσαι, ἀποκρύψαι, εἰς ἅλα δῦναι, κυρίως δὲ τὸ D^1 ἀπὸ τοῦ μαίρω FDC Var. 5. ἀφ' οὗ τὸ μαραίνω fehlt DC Var. 6. εἰς τὸ λ̄ FE 7. καὶ ἐν πλεονασμῷ FE 8. οἷον] οἷ F 8. 9. ὡς παρὰ τὴν ἄμμον Var. 9. ἀμῶ fehlt FE ἀμμῶ C Var. καὶ fehlt FE 10. καὶ ἐν πλ. F 11. ὁμαλὸς ὁμαλῶ ὁμαλύνω EDC 14. Ἀμαλλοδέται οἱ καὶ ἀμαλλοδετῆρες γράφονται οἱ τὰς DC (γράφεται C) 15. Nach συναγωγή: ζήτει D^1 16. τοῦ διονύσου C Nach Διός: καλλίμαχος σὺ δ' ἐθήσαο μαζὸν αἰγὸς Ἀμαλθείης und γρ. οἱ σίδοι φασὶν παραπεπλάσθαι D^1 αὐτὸ] τὸ ὄνομα in Rasur D^1 17. ἔστι γὰρ DC ἀμαλακιστεία FDC μὴ μαλθάσσεσθαι καὶ ταπεινοῦσθαι D^1 18. καρτερικὸν τοῦτο γενόμενον E 19. Nach ἐμυθολόγησαν: ἔστι καὶ παροιμία ἀμαλθείας κέρας εὐσθενείας καὶ ὑγιείας D^1 20. ἀμμύξαι C ἀμαμύξαι E 20. 21. συνδεδεμένος E 21. ἄμμιξις DC (verb. D^1) 21. 22. καὶ πλεονασμῷ τοῦ ᾱ DC 22. Nach Ἐπίχαρμος: ἐν γᾷ καὶ θαλάσσᾳ D^1 23. σαμφὼ C διὰ τοῦ δ̄ κλίνει αὐτο ἀμαμαξύδος CD, οὕτω μεθόδιος und ζήτει fügt D^1 zu. 24. Ἀμάρρα F 25. πλησίον αὐτῆς D^1 παρὰ τὰς αἱμ. FE 27. μάρπτω μαρπτία καὶ ἀμαρπτία F

καὶ ἐλλείψει τοῦ π̄ ἁμαρτία. ἔνθεν καὶ μάρτυς ὁ μάρψας καὶ εἰδὼς τὸ ἀληθές. ἢ ἀπαρτία παρὰ τὸ ἀρτῶ, σημαίνει δὲ τὸ ἁρμόζω, πόρρω οὖσα τοῦ συνηρμόσθαι ὃ βούλεται, τῆς ἀπό προθέσεως τὸ ἄποθεν δηλούσης.

71) *Ἀμάρυγμα καὶ ἀμαρυγάς· σημαίνει δὲ τὰς τῶν ὀφθαλμῶν ἐκλάμψεις· σημαίνει δὲ καὶ τὰς τοῦ μετώπου ῥυτίδας, αἵτινες εἴρηνται διὰ τὸ ἀμαυρόν. ἀλαμπεῖς δὲ καὶ ἀμυδραί. ἢ παρὰ τὸ ἀμάραις ἐοικέναι, τουτέστιν ὀχετοῖς. ὡς γὰρ ἐκεῖναι τὸ ὕδωρ, οὕτως καὶ αὗται τὸν ἱδρῶτα μετάγουσιν ἐπὶ τὰ παρ' ἑκάτερα μέρη τῆς κεφαλῆς. αἱ δὲ ἐκλάμψεις εἴρηνται παρὰ τὸ μαίρω, τὸ λάμπω, ἐξ οὗ τὸ μαρμαίρω καὶ μαρμαρυγή καὶ μάρμαρον. ἀφ' οὗ κύριον ὄνομα ἐκ τοῦ μαρῶ μέλλοντος γίνεται Μάρων· ἐξ οὗ μαρύσσω, πλεονασμῷ τοῦ ᾱ ἀμαρύσσω καὶ ἀμάρυγμα ἢ μαρυγμαὶ ἀμαρυγμὴ καὶ ἀμάρυγμα.* Magnum 30 vgl. Gudian. 52 und Genuin. 15

72) *Ἁμαρτῇ· σημαίνει τὸ ὁμοῦ καὶ κατὰ τὸ αὐτό. καὶ ὁ μὲν Ἀρίσταρχος χωρὶς τοῦ ῑ λέγει γράφεσθαι αὐτό, λέγων ὅτι ἀπὸ τοῦ ἁμαρτήδην γέγονε κατὰ ἀποκοπήν· ᾧτινι οὐ συνᾴδουσι τὰ τῆς παραδόσεως. ἡ γὰρ παράδοσις σὺν τῷ ῑ οἶδε γράφειν αὐτό. Ἡρῳδιανὸς δέ φησιν σύνθετον εἶναι ἀπὸ τοῦ ἅμα καὶ τοῦ ἀρτῶ· καὶ γίνεται ἀπὸ ἀμφοτέρων ἐπίρρημα ἁμαρτῇ καὶ ὁμαρτῇ. ἰστέον δὲ ὅτι τὰ ἀπὸ δοτικῆς γινόμενα ἐπιρρήματα ἔχουσι τὸ ῑ, οἷον ταύτῃ.* Genuin. 19

73) *Ἁμαρτοεπής· ὁ ἁμαρτάνων ἐν τῷ λέγειν, ὁ φλύαρος.* ‖ *ἀπὸ τοῦ ἁμαρτῶ καὶ τοῦ ἔπω, τὸ σημαῖνον τὸ λέγω.* Genuin. 21

74) *Ἀμαυρόν· τὸ ἀλαμπὲς καὶ μὴ ὁρώμενον. παρὰ τὸ μαίρω, τὸ λάμπω, ἐξ οὗ καὶ μάρμαρον, ὁ μέλλων μαρῶ καὶ πλεονασμῷ τοῦ ῡ μαυρῶ, καὶ ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα μαυρός, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀμαυρός.* Genuin. 22

75) *Ἀμαθύνειν· τὸ ἀφανίζειν καὶ κόνιν ποιεῖν, τουτέστι τὸ εἰς* Genuin. 23

---

1. *ἔνθα E* 2. *ἢ παρὰ τὸ ἀπαρτία παρὰ τὸ F* 2. 3. *ἡ πόρρω οὖσα DC* 3. *ᾧ βούλεται EDC* 4. *ζήτει* fügt D^1 hinzu. 5. *καὶ ἀμαρυγμὰς F* *σημαίνει μὲν DC* 7. *ἀλαμπεῖς γὰρ καὶ* D^1 8. *ὀχετοῖς] γρ. ὀχετοῦ* D^1 *γὰρ* fehlt *F* 10. *ἐξ οὗ καὶ τὸ μ. E* 11. *ἀφ' οὗ καὶ κύριον DC* 11. 12. *ἐκ δὲ τοῦ μαρῶ E* 12. 13. *πλεονασμῷ ᾱ E* 13. *ἢ ἠμαρυγμαὶ F* *ἢ μαρυγμὴ D* *ἢ ἀμαρυγμὴ C* vgl. Gen. 13. 14. Nach *ἀμάρυγμα: ζήτει οὕτως μεθόδιος* D^1 15. Nach *Ἁμαρτῇ: ἐπίρρημα* D^1 16. *χωρὶς* fehlt *E* Nach *αὐτό: καὶ ὀξύνεσθαι* D^1 *λέγων] δὲ* λ^{ε} *F* *λέγει γὰρ EDC* 17. *ἁμαρτηδὸν C* *ᾧτινι ἀριστάρχῳ DC* 19. 20. *καὶ* vor *γίνεται* fehlt *FC* 20 *ἀπὸ ἀμφ. ἐπίρρ.* fehlt *F* 21. *δοτικῆς ὀνόματος γιν. E* *ἐπιρρήματα* fehlt *FE* vielleicht richtig. *ταύτῃ ἄλλῃ DC* *ζήτει* fügt D^1 zu. 22. *ἤγουν* vor *ὁ φλύαρος* D^1 23. *τὸ σημαῖνον* fehlt *DC* Nach *λέγω: ἡ μεταφορὰ ἀπὸ τῶν ἁμαρτανόντων τῆς ὁδοῦ* D^1 25. *ἐξ οὗ] ἀφ' οὗ E* 26. Nach *μαυρῶ: ὡς κλαίω κλαύσω καίω καύσω* D^1 *ῥῆμα ὀνοματικὸν F* *ὄνομα ῥηματικὸν E* 27. Nach *ἀμαυρός: ζήτει* D^1 28. *καὶ κόνιν ποιεῖν* ausradiert D^1 (?) Am Rand: *κατὰ μικρὸν δαπανᾶν καὶ ἄμαθον καὶ κόνιν ποιεῖν* D^1

ἄμαθον διαλύειν καὶ κόνιν ποιεῖν. παρὰ τὴν ἄμαθον ἀμαθύνω. „πόλιν τὸ πῦρ ἀμαθύνει“ (Il. 9, 593)..

Genuin. 26 76) *Ἀμαστρίς· ἡ Ξάνθου θυγάτηρ ἔκτισε πόλιν καὶ ἀφ' ἑαυτῆς αὐτὴν ἐκάλεσεν.*

Genuin. 27 77) *Ἀμαραντῶν· ὄρη τῆς Κολχίδος, ἐξ ὧν καταφέρεται ὁ Φᾶσις ποταμός.*

Genuin. 28 78) *Ἁμαδρυάδες· νύμφαι. διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι. ἢ ἐπειδὴ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι.*

vgl. Genuin. 29 79) *Ἁμαρτίνους· τὰ ἀπὸ περισπωμένων ῥημάτων γινόμενα ὀνόματα ἢ διὰ τοῦ ō γίνονται, οἷον μισῶ μισογύνης, φιλῶ φιλόθεος, ἢ διὰ τοῦ ῑ, οἷον ἁμαρτῶ ἁμαρτίνους, οἰδῶ Οἰδίπους.*

Genuin. 30 80) *Ἅμαξα· παρὰ τὸ ἄγω ἄξω ἄξα καὶ ἄμαξα.*

Genuin. 31 81) *Ἁμάς· ἐκτείνεται κατὰ τὸ τέλος. ἐστὶ τοίνυν ἀμετέρας καὶ κατὰ συγκοπὴν ἀμάς.*

Genuin. 32 82) *Ἁματροχία· τὸ ἅμα τρέχειν καὶ μὴ ἀπολείπεσθαι, οἷον ὁμοδρομία τις οὖσα. τροχοὺς γὰρ τοὺς δρόμους ἔλεγον. ὀξύνεται δὲ ὡς φυταλιά· ἁματροχία δέ ἐστιν ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ.*

Genuin. 35 83) *Ἀμᾶν· τὸ θερίζειν. παρὰ τὸ ὁμοῦ ἐπισπᾶν, οἷον ἀμασπᾶν.*

Genuin. 36 84) *Ἀμβλυώττειν· τὸ μὴ ὀξυδερκεῖν. παρὰ τὸ ἀμβλεῖς ἔχειν τοὺς ὄσσους.*

Genuin. 37 85) *Ἀμβλῶσαι· τὸ ἀτελὲς βρέφος ἀποβαλεῖν· καὶ τὰ πρὸς τοῦτο φάρμακα ἀμβλωθρίδια καλοῦσιν οἱ ἰατροί. ἀπὸ μεταφορᾶς τῶν ἀμπέλων. ὁπότε γὰρ αὗται τοὺς λεγομένους ὀφθαλμοὺς ἀποκαυθεῖεν λέγεται αὐτὰς ἀμβλυώττειν, ἀντὶ τοῦ οὐ τελεσφοροῦσι καρπόν. καὶ ἐπὶ τῶν γυναικῶν τῶν ἀτελῆ τὰ βρέφη τικτουσῶν λέγεται ἀμβλυώτ-*

---

